M
45
19

BIBLIOTECA
DE LA
Universidad de Salamanca.
Est. 1 Caj. 1 Núm. 19

SEMANA BIBLICA
ESPAÑOLA
nº 144

Sr. Fracada

BIBLIOTECA UNIVERSITARIA
SALAMANCA

S. Atanasio =

Dhos de algunos S.tos PP.

Eusebio sobre los cantares

M
75

Τάδε περιέχει ἡ βίβλος.

Ἀθανασίου εἰς τινὰ ἀπορούμενα τῆς θείας γραφῆς, καὶ ἐπιφωνήματα :—

Ἐξήγησις διαφόρων εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων :—

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀθανασίου ἀρχιεπισκόπου ἀλεξανδρείας, πρὸς ἀντίοχον ἄρχοντα περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων, τῶν ἐν ταῖς θείαις γραφαῖς ἀπορουμένων, καὶ παρὰ πᾶσι χριστιανοῖς γινώσκεσθαι ὀφειλομένων:

ἐρώ. Πιστεύσαντες καὶ βαπτισθέντες εἰς τριάδα ὁμοούσιον καὶ λέγοντες θεὸν εἶναι τὸν πατέρα, ὁμοίως καὶ θεὸν εἶναι τὸν υἱόν, ὡσαύτως καὶ θεὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, πῶς οὐ λέγομεν αὐτοὺς τρεῖς θεούς, ἀλλ' ἕνα καὶ μόνον θεόν. Καὶ εἰ μὲν ἕνα προσκυνοῦμεν θεόν, εὔδηλον ὅτι εἰς μοναρχίαν πιστεύοντες, ἰουδαΐζομεν. Εἰ δὲ τρεῖς πάλιν θεούς, πρόδηλον ὅτι ἑλληνίζομεν πολυθεΐαν εἰσάγοντες, καὶ οὐχ ἕνα θεὸν εὐσεβῶς προσκυνοῦντες:

ἀπόκ. Ἀπερίεργος ὁ λόγος καὶ ὁ τρόπος τῆς εὐσεβείας, πίστει μόνῃ, ἀλλ' οὐκ ἐξερευνήσει γνωριζόμενος καὶ δοξαζόμενος. Θεὸς γὰρ καταλαμβανόμενος, οὐκ ἔστι θεός. Εἰ γὰρ τοὺς ἀγγέλους, ἢ τὰς ἡμετέρας ψυχὰς κτίσματα ὄντα καταλαβεῖν οὐ δυνάμεθα, πόσῳ γε μᾶλλον αὐτὸν τὸν τούτων ποιητὴν καὶ δεσπότην πρέπει τὸ εἶναι ἀκατάληπτον. μυστήριον γὰρ γνωριζόμενον, οὐδέν ἐστι λοιπὸν θαυμαζόμενον. οὐκοῦν ἡ χριστιανῶν πίστις, καὶ ὁ τούτων τρισυπόστατος θεός, οὔτε ἔστι τὴν ὑπόστασιν ἀνθρωπόμορφος ὡς οἱ ἑλλήνων παῖδες μυθολογοῦσιν, οὔτ' αὖ πάλιν

ἐξ

τρεῖς εἶναι θεοί, ὡς τῶν ἀλλήλων ἀπέχοντες, ἄπαγε τῆς ἑλληνικῆς μυθολογίας. ἀδιαίρετος γὰρ ἐν ταῖς τρισὶν ὑποστάσεσιν, ἡ τῆς μιᾶς οὐσίας θεότης. πλὴν εἰδέναι χρή, ὅτι τὴν οὔτε ῥήμασιν, οὔτε ἐνθυμήμασι καταλαβεῖν δυνηθῆναι ταύτην τῆς θεότητος, νοῦς ἀνθρώπινος δύναται. πάντες γὰρ ὅσοι τὸν καταλαβέσθαι ἐπείρασαν, τὴν ἑαυτῶν σκιὰν κατεδίωξαν. καὶ ὅσοι τὰ περὶ οὐσίας θεοῦ εἰπεῖν ἠβουλήθησαν, τὴν ἄβυσσον μετρῆσαι, τῇ ἑαυτῶν δρακὶ ἐπείρασαν. καὶ ὅσοι ταῦτα βαθῦναι ἐνόμισαν, εἰς πονηρὰς αἱρέσεις ἐξετράπησαν. ὁ γὰρ πατὴρ καὶ θεός, οὐχ ὡς ἐγὼ ὁ κτιστὸς ὑπάρχει πατήρ, γεννήσας ὡς ἐγὼ κτιστοῦ υἱοῦ. οὐδὲ ὁ υἱός, ὡς πᾶς σαρκικὸς γεννᾶται υἱός. οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον, ὡς τὸ τοῦ ἀνθρώπου περιεκτικὸν ὑπάρχει πνεῦμα, ἀλλὰ ἄρρητον καὶ ἀνέκφραστον τῆς ἁγίας τριάδος ὑπάρχει μυστήριον. καὶ μὴ εἴπῃς πῶς. ὑπὲρ γὰρ τό, πῶς ἐστι τοῦτο. μὴ δὲ εἴπῃς ποίῳ τρόπῳ. ὑπὲρ γὰρ τρόπον ὁ θεὸς τρόπος. μὴ εἴπῃς ποίῳ λόγῳ. ὑπὲρ γὰρ λόγον ὁ θεῖος λόγος. ἀλλὰ πίστευε εἰς πατέρα, μὴ ἐρευνήσῃς δὲ τὸ πρᾶγμα. προσκύνει υἱόν, μὴ πολυπραγμονῶν τὴν αὐτοῦ γέννησιν. ἀνύμνει τὸ πνεῦμα τὸ ἅγιον, μὴ ἐκζητῶν τὸ τῆς ἁγίας τριάδος μυστήριον. δεῦρο ἐν Ἰορδάνῃ θέα διὰ πραγμάτων τὴν ταυτότητα τῆς ἁγίας τριάδος τὴν δύναμιν καὶ τὸ ὁμοούσιον. πατέρα ἄνωθεν μαρτυροῦντα. υἱὸν δὲ κάτωθεν βαπτιζόμενον. πνεῦμα δ' ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, πατρὶ τῷ παντοκράτορι, τῷ τε μονογενεῖ αὐτοῦ υἱῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ.

νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Πόθεν ἐπιγινώσκει αὐτός, ὁ τελείως ἐβαπτίσθη, τὸ πνεῦμα ἅγιον ἔλαβεν, ὡς ἦν νήπιος ἐν τῷ βαπτίσματι :~ ἐρώ.

Ὁ προφήτης ἠσαΐας φησὶ πρὸς τὸν θεόν. διὰ τὸν φόβον σου ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. ὡς γὰρ ὅταν ἡ ἐν γαστρὶ συλλαβοῦσα γυνή, ἐκ τῶν σκιρτημάτων τοῦ βρέφους τοῦ ἐν τῇ μήτρᾳ αὐτῆς ἐπίσταται ἀληθῶς ὅτι καρπὸν ἔλαβεν, οὕτω καὶ ἡ ψυχὴ τοῦ ἀληθῶς χριστιανοῦ, οὐ διὰ γραμμάτων ἔγνωκεν, ἀλλὰ διὰ πραγμάτων καὶ σκιρτημάτων, καὶ ἀγαλλιαμάτων τῆς καρδίας τῆς ἑαυτοῦ. καὶ μάλιστα τῷ καιρῷ τῶν ἑορτῶν, καὶ τῶν φωτισμάτων, καὶ τῆς μεταλήψεως τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ χριστοῦ μανθάνει ἐκ τῆς χαρᾶς τῆς ψυχῆς αὐτοῦ, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἔλαβε βαπτισθείς :~ ἀπό.

Πότε καὶ πόθεν καὶ πῶς γεγόνασιν οἱ ἄγγελοι :~ ἐρώ.

Οὔτε πόθεν, οὔτε πῶς γεγόνασιν οἱ ἄγγελοι δυνατὸν φύσει ἀνθρωπίνῃ εἰπεῖν, εἰ μὴ τοῦτο μόνον, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι λόγῳ θεοῦ γεγόνασι. τὸ δὲ πότε, οἱ μὲν φασὶ τῇ πρώτῃ ἡμέρᾳ. οἱ δὲ τῇ τετάρτῃ. οἱ δὲ πρὸ τῆς πρώτης. ὁ δὲ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ θαυματουργὸς ἐπιφάνιος ὁ κύπρου, εἰς τὸν λόγον αὐτοῦ τὸν κατὰ παύλου τοῦ σαμοσατέως εἰς τὰ πανάρια, πλατυτέρως ἐξέθετο εἰπών. ἅμα οὐρανῷ καὶ γῇ τούτους δημιουργηθῆναι, καὶ οὐχὶ πρότερον. ἀνατρέπων διὰ συλλογισμῶν τοὺς τοῦτο λέγοντας. τὸ δὲ ῥητὸν αὐτοῦ λόγου τοῦτό φησι :~ ἀπό.

ἐρώτ.
Πόθεν δῆλον ὅτι κτιστοί εἰσιν οἱ ἄγγελοι· οὐδὲ γὰρ ἐμφέρεται ἡ κτίσις τούτων ἐν τῇ βίβλῳ τῆς γενέσεως:

ἀπόκρ.
Γινώσκων ὁ θεὸς τὸ φιλείδωλον καὶ πολύθεον τῶν Ἰουδαίων, τούτου χάριν ἀπέκρυψεν ἐν τῇ γενέσει τὸν περὶ τῶν ἀγγέλων λόγον, ἵνα μὴ καὶ αὐτοὺς θεοποιήσωσιν οἱ τὸν μόσχον καὶ ἄλλα τινὰ θεοποιήσαντες ὡς θεούς. ὅτι δὲ κτιστοί εἰσιν οἱ ἄγγελοι, ἄκουσον τοῦ ἁγίου πνεύματος διὰ τοῦ προφήτου λέγοντος· αἰνεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν:

ἐρώτ.
Ἐκ τῆς οὐσίας οὖν τοῦ φωτὸς τούτου εἰσίν, ἢ ἄλλης τινὸς φύσεως·

ἀπόκρ.
ὅσον διαφέρει τοῦ ἀέρος ὁ ἥλιος, τοσοῦτον διαφέρει ἡ οὐσία τῶν ἀγγέλων πάσης τῆς ὁρωμένης κτίσεως:

ἐρώτ.
Πόσος ἄρα τῶν ἀγγέλων ὁ ἀριθμός, ὑπὲρ τὸν ἀριθμὸν τῶν ἀνθρώπων πολλοστὸς ὑπάρχει;

ἀπόκρ.
Οἱ μέν φασιν ἐνενηκονταεννέα μέρη εἶναι τοὺς ἀγγέλους πρὸς τὸν ἀριθμὸν τῶν ἀνθρώπων πολλοστός, κατὰ τὴν παραβολὴν τοῦ κυρίου τῶν ἑκατὸν προβάτων. ἄλλοι δὲ ἐννέα, κατὰ τὴν παραβολὴν τῶν δέκα δραχμῶν. ἕτεροι οὖν ἰσαρίθμους λέγουσι τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους, φέροντες μαρτυρίαν τό, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ:

ἐρώτ.
Τί παρήλλακται ἡ οὐσία τῶν δαιμόνων, τῆς οὐσίας τῶν ἀγγέλων:

ἀπόκρ.
Ἡ οὐσία οὐ παρήλλακται, ἀλλ' ἡ προαίρεσις, ὥσπερ γινώσκομεν τοῦ δικαίου καὶ τοῦ ἁμαρτωλοῦ:

ἐρώτ.
Πόσα τάγματα καὶ πόσαι οὐσίαι ἀγγέλων εἰσί:

οὐσία μία, ὥσπερ καὶ αὐτῶν μία· τάγματα δέ, ὡς ὁ πολὺς
ἐν θεολογίᾳ διονύσιος φησίν, ἐννέα. ἅπερ εἰσὶ ταῦτα·
ἄγγελοι. ἀρχάγγελοι. ἀρχαί. ἐξουσίαι. δυνάμεις. κυριό-
τητες. τὰ ἑξαπτέρυγα σεραφίμ. τὰ πολυόμματα χερου-
βίμ, καὶ οἱ θρόνοι:-

ὅσοι οὐρανοί εἰσιν:- ἐρώ.

Ἀμφιβάλλεται παρὰ πολλοῖς τὸ ἐρώτημα. ἡ μὲν γὰρ βίβλος τῆς ἀπο.
γενέσεως, δύο οὐρανοὺς λέγει. ὁ δ᾽ ἅγιος παῦλος, τρίτον
οὐρανὸν εἶδεν. ὁ δ᾽ προφήτης δαβίδ, καὶ τέσσαρας λέγει, καθὼς
φησίν. αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν. ἰστέον δ᾽ ὅτι καθά-
περ ἡ φύσις τῶν ἀνθρώπων καὶ εἷς ἄνθρωπος λέγεται καὶ πάλιν πολλοί,
οὕτως καὶ ἡ τῶν οὐρανῶν φύσις, καὶ εἷς οὐρανὸς καὶ πολλοὶ
οὐρανοὶ ἐν τῇ θείᾳ γραφῇ λέγονται:-

Πόθεν καὶ διατί ἐξέπεσεν ὁ διάβολος. μυθεύονται γάρ τινες ἐρώ.
ὅτι μὴ καταδεξάμενος προσκυνῆσαι τὸν ἀδάμ, διὰ τοῦτο
ἐξέπεσεν:-

Ἀφρόνων ἀνδρῶν τὰ τοιαῦτα τυγχάνουσι ῥήματα. ὁ γὰρ διά- ἀπο.
βολος πρὶν γενέσθαι τὸν ἀδάμ ἐξέπεσεν, πρόδηλον ὅτι
διὰ τὴν ὑπερηφανίαν αὐτοῦ, ὡς φησὶν ἡσαΐας ὁ προφήτης.
λογιζόμενος ὅτι θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν,
καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ:-

Τίνος δ᾽ ἕνεκεν συνεχώρησεν αὐτῷ ὁ θεὸς πολεμεῖν τὸ γένος ἐρώ.
τῶν ἀνθρώπων:-

Ὅπως καὶ οἱ ἀγαπῶντες τὸν θεὸν φανερωθῶσι, καὶ οἱ προσκεί- ἀπο.
μενοι ταῖς ἡδοναῖς ἐλεγχθῶσιν. ἀμέλει γὰρ μὴ προσκει-

μένου, οἱ γνήσιοι στρατιῶται τοῦ βασιλέως οὐ φανεροῦνται. οὕτω καὶ διάβολος, αἴτιος νίκης καὶ στεφάνων γίνεται τοῖς ἀγαπῶσι τὸν θεόν :

ἐρώτ. Περὶ τοῦ διαβόλου ἐκ τῶν ὁμοίων, πῶς γέγραπται ἐν τῷ Ἰώβ, ὅτι ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐναντίον κυρίου, καὶ ὁ διάβολος ἐν μέσῳ αὐτῶν :

ἀπόκ. Οὐκ εἶπεν ἡ γραφὴ ὅτι ἦλθεν ὁ διάβολος ἐν ὁμοίως ἐν μέσῳ τῶν ἀγγέλων, πρόδηλον οὖν ὅτι ἐπὶ γῆς. καὶ γὰρ ὅπου ἐὰν Iob εἰσὶν οἱ ἄγγελοι, ἐκεῖ θεῷ παρεισάγονται. πλὴν δεῖ εἰδέναι, ὅτι διὰ μέσου ἀγίου ἀγγέλου ὁ θεὸς πρὸς τὸν διάβολον διελέγετο, καθάπερ καὶ βασιλεὺς διὰ μέσου τοῦ αὐτοῦ πρὸς τὸν κατάδικον :

ἐρώτ. Ἄρα ἰσχύει φαρμακὸς ἀποκτεῖναι ἄνθρωπον; :

ἀπόκ. Δίκαιον μὲν οὐδαμῶς, ἀλλ' οὐδὲ προσεγγίζει αὐτῷ. ἁμαρτωλοὺς δὲ τοῦ θεοῦ συγχωροῦντος. ναί. ἐπεὶ οὐδὲ κατὰ χοίρων ἔχει ἐξουσίαν, ὡς ἐν τῷ ἁγίῳ εὐαγγελίῳ ἠκούσαμεν :

ἐρώτ. Ποίαν εὐχὴν καὶ ῥῆμα φοβοῦνται πλέον ἁπάντων, τὴν ἀναγραφὴν οἱ δαίμονες καὶ ὁ διάβολος :

ἀπόκ. Διηγήσαντό τινες πνευματοφόροι ἄξιοι τοῦ πιστεύεσθαι, ὅτι πατράσι τισὶν ὄψεσί ποτε φανεὶς αὐτοῖς ὁ διάβολος, καὶ τοῦτο τὸ ἐρώτημα ἐρωτηθεὶς ὑπ' αὐτῶν ἀπεκρίνατο, ὅτι οὐκ ἔστιν ἐν πάσῃ τῇ παλαιᾷ καὶ καινῇ διαθήκῃ ῥῆμα ἐκφοβοῦν ἡμᾶς, καὶ διασκορπίζων ἡμῶν πᾶσαν τὴν δύναμιν, ὡς ἡ ἀρχὴ τοῦ ξζ' ψαλμοῦ. ὡς οὖν ὁ διάβολος τοῦτο εἴρηκεν, ἀρξαμένων ἐκείνων τοῦ αὐτοῦ ψαλμοῦ, καὶ εἰρηκότων μόνον

τὸ πρῶτον ῥῆμα, τὸ ἀναστήτω ὁ θεὸς καὶ διασκορπισθήτω-
σαν οἱ ἐχθροὶ αὐτοῦ, εὐθέως ὀλολύζων ἀφανὴς γέγονεν ὁ
διάβολος, ἔργοις δείξας τῆς εὐχῆς τὴν ἐνέργειαν :—

ὅθεν κινοῦνται ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου λογισμοί τε βλά- ἐρώ.
σφημοι καὶ ἀθέμιτοι, τὸν αὐτὸν τὸν κύριον ὑβρίζοντες πολλάκις,
οὓς οὐκ ἐβούλετο λαλῆσαι ἡ ψυχὴ ἢ ἡ γλῶσσα τοῦ ἀνθρώπου ὀ-
νομάσαι :—

Τοῦτο ὁ διάβολός ἐστιν ὁ ἐργαζόμενος, τὸ αὐτὸς τὰ τοιαῦτα ἀπόκ.
ἀθέμιτα ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ὑποβάλλει, λαλῶν κατὰ θεοῦ
ῥήματα, εἰς ἀπόγνωσιν τὸν ἄνθρωπον ἐνεγκεῖν βουλόμενος, ἀλλ'
οὐκ ἐκ τούτου τὸ σύνολον κατακρίνεται ὁ ἄνθρωπος. ἐξαιτήσεως
δ' ὁ τοιοῦτος λογισμὸς ἐπάγεται τῷ ἀνθρώπῳ, ἀπαλλάττεται αὐ-
τοῦ, γινώσκει καὶ πόθον ἑαυτὸν λογιζόμενος, τὸ μηδόλως εἰς
μέτρον τὸν τοιοῦτον λογισμὸν ἔχων, ἀλλὰ λέγων τῷ διαβόλῳ,
ἡ βλασφημία σου ἐπὶ τὴν κεφαλήν σου διάβολε, ἐγὼ δὲ κύριον
τὸν θεόν μου προσκυνῶ, τὸν αὐτὸν οὐδέποτε βλασφημήσω. ἀ-
σφαλῶς οὖν προσεκτέον τοῖς εἰρημένοις. πολλοὶ γὰρ τῶν
ἀνθρώπων ὑπὸ τούτου τοῦ λογισμοῦ κρατηθέντες, οἱ μὲν ἑαυτοὺς
ἐκρήμνισαν. οἱ δ' εἰς ἀπόγνωσιν ἐλθόντες, ἀπώλοντο :—

Ἀκόλουθον ἡγοῦμαι μετὰ τὸν περὶ θεοῦ καὶ ἀγγέλων λόγον, περὶ τὸν ἐρώ.
τὸν περὶ ψυχῆς λοιπὸν λογικῶν, εἰς μέσον προσενεχθῆναι.
πολλὴ γὰρ ὡς ἀληθῶς καὶ ἡ περὶ τούτου τοῖς ἀνθρώποις ὑπάρχει
ζήτησίς τε καὶ ἀμφιβολία, λέγω δὴ τί αὐτὸ γὰρ μάλιστα ἐστιν ἡ
ψυχὴ τοῦ ἀνθρώπου, τὸ πόθεν αὕτη εἰσοικίζεται ἐν τῷ σώματι, τὸ πόθεν
καὶ πῶς χωρίζεται ἐκ τοῦ σώματος, τί τε μέχρι τῆς ἀναστάσεως

διαπεράτεται· οὐδεὶς γὰρ ἐκ τῶν νεκρῶν ἐν τῷ βίῳ ἐπιδη-
μήσας, ταῦτα καὶ ἡμῖν ἀπήγγειλεν ἢ ἐπιστώσατο. διὸ ὡς
τοῖς πολλοῖς ἀκατάληπτον τὸν περὶ ψυχῆς λόγον, διδαχῇ
καὶ ἐρωτήσει μόνην τὴν σὴν ἀγάπην: ~

ἀπόκ(ρισις). Ἡ μὲν τοῦ ἀνθρώπου ψυχή, ἐστὶν οὐσία νοερά· ἀσώματος· ἀθεώρητ(ος)· θ(εο)ς
ἀπαθής· ἀθάνατος. σχεδὸν ὁμοία τῇ τῶν ἀγγέλων λεπτότητος.
οὐ μὴν δ' ἄγγελος ποτὲ ἦν ἡ ψυχή, ὥσπερ ὠριγενιασταὶ μυ-
θεύονται. οὐδὲ προϋπάρχουσιν αἱ ψυχαὶ τῶν σωμάτων, ὡς
οἱ μανιχαῖοι δογματίζουσιν, ἀλλ' ὥσπερ τοῦ λίθου καὶ τοῦ
σιδήρου συγκρουομένων ἐξ ἀμφοτέρων γίνεται τὸ πῦρ,
οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου καὶ τῆς γυναικὸς συμπλοκῆς γίνεται
καὶ ζωοῦται θείᾳ κελεύσει σῶμα καὶ ψυχή, καθὼς καὶ ὁ
θεῖος ἀπόστολος λέγων· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται
σῶμα πνευματικόν. δηλονότι ἐν τῇ ἀναστάσει: ~

ἐρώτ(ησις). Πόθεν δηλονότι οὐ συναποθνήσκει ἐν τῷ καιρῷ τοῦ θανάτου
μετὰ τοῦ σώματος ἡ ψυχή, τινὲς γὰρ οὕτω νομίζουσιν: ~

ἀπόκ(ρισις). Ἡ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν λόγος προφανῶς διδάσκει ἡμᾶς τὸ
θνητὸν τοῦ σώματος, καὶ τὸ ἀθάνατον τῆς ἡμετέρας ψυχῆς ἡμῶν,
λέγων· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν
δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, πρόδηλον ὡς ἀθάνα-
τον καὶ ἀπαθῆ ὑπάρχουσαν: ~

ἐρώτ(ησις). Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος. ποίῳ δ' ἄρα
τρόπῳ ζωοῦται ἡ ψυχὴ ἐκ τοῦ σώματος: ~

ἀπόκ(ρισις). Ἐκ τεσσάρων δηλονότι στοιχείων πιστεύομεν τὸ σῶμα τοῦ ἀνθρώπου
ζωοῦσθαι, λέγω δὴ ἐξ αἵματος, χυμοῦ, καὶ χολῆς, ἤγουν

ἐκ θερμοῦ, ψυχροῦ, ὑγροῦ, καὶ ξηροῦ, τουτέστιν ἐκ πυ-
ρός, ὕδατος, ἀέρος, καὶ γῆς. τὸ μὲν γὰρ αἷμα ὡς θερμόν,
δηλονότι ἐκ πυρός· ὁ δὲ χυμὸς ὡς ὑγρός, δηλονότι ἐξ
ἀέρος· ἡ δὲ χολὴ ὡς ξηρά, πρόδηλον ἀπὸ γῆς. τὸ δὲ φλέ-
γμα ὡς ψυχρόν, εὔδηλον ἐξ ὕδατος. ἐν τούτοις τοῖς τέσ-
σαρσιν, ὥσπερ ἐν τέσσαρσι τοίχοις ἐν οἴκῳ τοῦ σώματος
δίκην τινὸς περιστερᾶς ἀποκέκλεισται ἡ ψυχή, διὸ ὅπως κα-
ιρῷ τοῦ θανάτου ἐπιστῇ, οὐ ἀθρόως ὑποχωροῦσιν
ἐξ ἀλλήλων, ὡς ἂν εἴποις διαλύονται οἱ τέσσαρες τοῦτοι
τοῖχοι, τὸ ἀναχωρεῖ καὶ ἔνδον ἀποκεκλεισμένη περι-
στερὰ ἤγουν ἡ ψυχή· καὶ πρῶτον μὲν ὑποχωρεῖ τὸ αἷμα,
ἤγουν τὸ θερμὸν καὶ ζωτικὸν στοιχεῖον, ὅθεν τὰ νεκρὰ σώ-
ματα χολὴν ἔχουσι μετὰ θάνατον, τὸ φλέγμα καὶ χυμόν,
αἷμα δὲ οὐδαμῶς :

Ποῦ δὲ ἄρα θέλομεν λέγειν ὅτι εἰσὶ νῦν αἱ προλαβοῦσαι τῶν Ἐρώ.
ἀνθρώπων ψυχαί :

Ξένον μὲν καὶ φοβερὸν τὸ ἐρώτημα, τὸ παρὰ ἀνθρώποις ἀποκε- ἀπόκ.
κρυμμένον· οὐ γὰρ συνεχώρησεν ὁ θεὸς ἐπαναλύσαι τῶν ἐκεῖ-
σε τινὰ πρὸς ἡμᾶς τὸ διηγήσασθαι, ποῦ ἢ πῶς εἰσιν αἱ ἀφ'
ἡμῶν προλαβοῦσαι ψυχαί· ὅμως ὡς ἐκ τῶν θείων γραφῶν
μανθάνομεν, ὅτι αἱ μὲν τῶν ἁμαρτωλῶν ψυχαὶ ἐν τῷ ᾅδῃ
ὑπάρχουσιν, ὑποκάτω τῆς γῆς καὶ θαλάσσης, ὡς φησιν ὁ
ψαλμός· ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, καὶ ἐν λάκκῳ
Iob κατωτάτῳ, ὡς γέγραπται ἐν τῷ Ἰώβ· εἰς γῆν σκοτεινὴν
καὶ γνοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι φέγγος,

οὐδὲ ὁρᾷ τὸν ζῶντα θεόν. ἀλλ' αἱ τῶν δικαίων ψυχαὶ μετὰ τὴν χριστοῦ παρουσίαν, ὡς ἐκ τοῦ λῃστοῦ τοῦ ἐν τῷ σταυρῷ μανθάνομεν, ἐν τῷ παραδείσῳ ὑπάρχουσιν. οὐ γὰρ διὰ μόνην τὴν ψυχὴν τοῦ ἁγίου λῃστοῦ χριστὸς ὁ θεὸς ἡμῶν ἤνοιξε τὸν παράδεισον, ἀλλὰ καὶ διὰ πάσας τὰς τῶν ἁγίων ψυχάς. ὁ γὰρ ἅγιος πατὴρ ἡμῶν βασίλειος εἰς τὸν περὶ νηστείας αὐτοῦ λόγον, οὗ ἡ ἀρχὴ σαλπίσατε, οὕτω φησί· οὐχ ὁρᾷς τὸν λάζαρον πῶς διὰ νηστείας εἰσῆλθεν εἰς τὸν παράδεισον:—

ἐρώτ. **Τ**ί οὖν, ἀπέλαβον οἱ δίκαιοι τὰ ἀγαθά, καὶ οἱ ἁμαρτωλοὶ τὴν κόλασιν:—

ἀπόκρ. **Ο**ὐ δῆτα μερικῶς. ὅμως ἡ αὐτὴ ἡ χαρὰ ἣν ἔχουσι νῦν αἱ τῶν ἁγίων ψυχαί, μερικὴ ἀπόλαυσίς ἐστιν. ὥσπερ καὶ ἡ λύπη ἣν οἱ ἁμαρτωλοὶ ἔχουσι, μερικὴ κόλασίς ἐστιν. ὥσπερ μετακαλεῖ ὁ βασιλεὺς φίλους αὐτοῦ ἐπὶ τῷ συναριστῆσαι αὐτῷ, καὶ τοὺς κατακρίτους ἐπὶ τῷ κολάσαι αὐτούς. καὶ οἱ μὲν εἰς τὸ ἄριστον κληθέντες, ἐν χαρᾷ εἰσὶν ἔμπροσθεν τοῦ οἴκου τοῦ βασιλέως ἕως τῆς ὥρας τοῦ βασιλέως. οἱ δὲ κατάδικοι ἐν φυλακῇ ἀποκεκλεισμένοι, ἐν λύπῃ ὑπάρχουσιν ἕως ἐξέλθοι ὁ κριτής. οὕτω δὴ λοιπὸν νοεῖν καὶ ἐπὶ τῶν ἐκεῖσε ἀφ' ἡμῶν προλαβουσῶν ψυχῶν, λέγω δὴ δικαίων καὶ ἁμαρτωλῶν:—

ἐρώτ. **Τ**ί οὖν, οὐδεὶς κατὰ τὰ εἰρημένα, οὔτε ἐν βασιλείᾳ οὔτε ἐν γεέννῃ εἰσελήλυθεν; πῶς οὖν περὶ τοῦ πλουσίου τοῦ κατὰ τὸν λάζαρον ἀκούομεν, ὅτι ἐν πυρὶ καὶ βασάνοις ὑπάρχων, πρὸς τὸν ἀβραὰμ διελέχθη:—

ἀπόκρ. **Π**αραβολικῶς ὁ κύριος ὅλα τὰ κατὰ τὸν λάζαρον εἶπεν, ὥσπερ τὸ

περὶ τῶν δέκα παρθένων, καὶ τῶν λοιπῶν παραβολῶν.
οὐ γὰρ ἐν πράγματι γέγονεν ἡ τοῦ λαζάρου παραβολή, διότι
οὐχ ὁρῶσιν οἱ ἁμαρτωλοὶ ἐν γεέννῃ τοὺς δικαίους τοὺς ἐν
ἀβραάμ, ὄντας ἐν τῇ βασιλείᾳ, ἀλλ' οὐδὲ πάλιν ἐπιγινώ-
σκει τὶς τὸν πλησίον αὐτοῦ ἐν σκότει ὑπάρχων:

Πῶς τοῦτο. καὶ γὰρ φοβερὸς οὗτος καὶ ξένος ὁ λόγος, ὅτι οὐκ ἐρώτ.
ἐπιγινώσκομεν ἀλλήλους ἐκεῖσε, ἀλλὰ ἀγνώριστοι ἀδελ-
φοί, ἀδελφοῖς καθεστήκασιν:

Ὁ ἐπιγνωρισμὸς ἐκ σωματικῶν σημείων τινῶν γίνεσθαι ἀπόκ.
πέφυκεν. αἱ δὲ ἀσώματοι ψυχαί, ὅμοιαι ἀλλήλαις κατὰ πάν-
τα ὑπάρχουσιν, ὥσπερ ἐπὶ πλῆθος τινῶν ἀγέλων καὶ ὁ-
μοίων περιστερῶν ἢ μελισσῶν, οὐ διαφέρουσι μιᾶς τῆς
μιᾶς, οὔτε σμικρότητι, οὔτε μεγαλειότητι, ἀλλὰ κατὰ πάν-
τα ἐν ἰσότητι ἀλλήλαις οὖσαις. τοῦτο δὲ λέγω ἐπὶ τῶν ἅδῃ
κατακεκριμένων ψυχῶν ἁμαρτωλῶν, ὅτι ἑαυτὰς οὐκ-
ἐπιγινώσκουσιν. τὰς γὰρ τῶν δικαίων ψυχάς, τὸ τοῦτο
ὁ θεὸς τὸ ἀγαθόν, λέγω δὴ τὸν ἐπιγνωρισμὸν ἐδωρήσατο:

Δεδιδάγμεθα ὅτι καὶ κατὰ τὸν σὸν λόγον αἱ ψυχαὶ οὐκ ἐπιγινώ- ἐρώτ.
σκουσιν. εἶτα ἄρα οὐδὲ ἐν τῇ ἀναστάσει ἐπιγνώσονται οἱ ἁ-
μαρτωλοὶ ἀλλήλους, λέγω δὴ ἐκ μιᾶς χώρας ἢ οἴκου καὶ
γένους ὑπάρχοντες:

Οὐδὲ ἐν τῇ ἀναστάσει: ἀπόκ.

Τίνος χάριν: ἐρώτ.

Ὅτι ἅπαντα τὰ ἐκ φύσεως καὶ προαιρέσεως ἐπισυμβαίνοντα ἀπόκ.
τοῖς ἡμετέροις σώμασιν, σχήματα καὶ σημεῖα καὶ παθήματα,

δι' ὧν ἀλλήλους οὐδὲ γνωρίζομεν, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν ζωῇ τῇ ἀπουσίᾳ καὶ φθορᾷ καταργουμένης. καὶ ὥσπερ ἀπαρχῆς ὁ θεὸς ἕνα ἄνθρωπον ἐποίησεν, οὕτως ἐν τῇ παλιγγενεσίᾳ πάντες εἰς ἄνθρωπος ἀνιστάμεθα. τουτέστι πάντα ἀνθρώπου εἰκών, ὁμοία τῷ ἀδὰμ εἰκόνος καὶ πλάσεως καὶ μεγέθους καὶ σχήματος. διὸ οὐκ ἔστι ἐν τῇ ἀναστάσει ἄρσεν καὶ θῆλυ. οὐ μικρὸς οὐδὲ μέγας. οὐδὲ μέλας καὶ λευκός. οὐδὲ ξανθότης καὶ πυρρότης καὶ συμμελίης. οὐδὲ διαφορὰ προσώπων καὶ σχήματα, καὶ χρώματα καὶ παθήματα, καὶ σινώματα καὶ παθήματα. ταῦτα γὰρ πάντα ἀπὸ φθορᾶς καὶ ἀπουσίας γινόμενα, τῇ φθορᾷ καταλύονται. καὶ πῶς λοιπὸν ἐπιγνώσεται πατὴρ τὸ ἴδιον τέκνον νήπιον τελευτῆσαν, καὶ τριακονταετῆ τέλειον ἄνθρωπον ἀνιστάμενον, καθὼς καὶ ὁ χριστὸς τριακονταετὴς ἐβαπτίσθη. ἢ πῶς γνωρισθήσεται ὁ τελευτήσας αἰθίοψ, λευκὸς ἀνιστάμενος. ἢ ὁ ἀποθανὼν λελωβημένος, ὑγιὴς ἀνιστάμενος. εἰ δὲ δύσπιστά σοι εἶναι ταῦτα φαίνονται, ἄκουσον τοῦ κυρίου πρὸς τοὺς σαδδουκαίους λέγοντος. ὅτι ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὥσπερ ἄγγελοι. οὐκοῦν ὥσπερ οἱ ἄγγελοι μιᾶς ἰδέας καὶ σχήματος ὑπάρχουσιν, οὕτως πιστεύομεν καὶ ἐπὶ τῆς ἡμετέρας φύσεως ἐν τῇ ἀναστάσει, διὰ τὴν ἀφθαρσίας λοιπὸν γίνεσθαι. καὶ ὥσπερ ἐπὶ τοῦ σίτου στάχυν ἐποίησεν ὁ θεὸς ἀπαρχῆς, καὶ ἐκ τοῦ στάχυος γίνεται κόκκος, καὶ πάλιν σπειρόμενος ὁ κόκκος ἀναβλαστάνει στάχυς, οὕτω καὶ ὁ ἄνθρωπος γίνεται, ὑπὸ τοῦ φυλάττειν τὰς ἐντολὰς ἄφθαρτος. εἶτα διὰ τὴν παρακοὴν ζωῆ τε

ται καὶ γέγονεν ἄφθαρτος, ὥσπερ ὁ σῖτος ὁ διὰ τοῦ θανάτου καὶ
χωννύμενος ἐν τῇ γῇ ἀναβλαστάνει, ὥσπερ ἦν ἄφθαρτος ἀ-
παρχῆς :—

Ἆρα διεπισκέπτονται τὸν βίον αἱ τῶν ἀνθρώπων ἐκεῖ περιλαβοῦ- ἐρώτ.
σαι ψυχαί, ἢ οὔ; :—

Οὐδαμῶς· ἄκουε γοῦν τοῦ θεσπεσίου Δαβίδ, περὶ τῶν τελευ- ἀποκ.
τώντων αὐτῶν λέγοντος. ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ,
ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. ὅτι πνεῦμα διῆλθεν
ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι, τὸν
τόπον αὐτοῦ. περὶ δὲ τῶν ψυχῶν τῶν ἁγίων, οὐδέν ἐστιν ἀμφι-
βάλλειν :—

Καὶ εἰ ταῦτα οὕτως, πῶς οἱ ἅγιοι πολλάκις ἐπιφαίνονται ἐρώτ.
ἐν τοῖς ἑαυτῶν ναοῖς καὶ τόποις :—

Ξένον καὶ παράδοξον τὸ ἐπερώτημα, ἐπεὶ σὸ τῆς ψυχῆς ἀποκ.
δεόμενον πρὸς τὴν αὐτοῦ ἀπόκρισιν, ὅμως εἰ λιπαρεῖς ἄ-
κουε μὴ ὀκλάζων τῷ λογισμῷ. αἱ ἐν τοῖς ναοῖς καὶ τοῖς
τόποις τῶν ἁγίων γινόμεναι ἐπισκιάσεις καὶ ὀπτασίαι,
οὐ διὰ τῶν ψυχῶν τῶν ἁγίων γίνονται, ἀλλὰ δι' ἀγγέλων
ἁγίων μετασχηματιζομένων εἰς τὸ εἶδος τῶν ἁγίων.
πῶς γὰρ εἰπέ μοι μία οὖσα ψυχὴ τοῦ μακαρίου Παύλου
ἢ Πέτρου, δύναται κατ' αὐτὴν τὴν ὥραν ἐν τῇ μνήμῃ
αὐτοῦ ἐπιφανῆναι ἐν χιλίοις ναοῖς αὐτοῦ ἐν ὅλῳ τῷ κό-
σμῳ. τοῦτο γάρ, οὔτε ἄγγελος εἷς δύναται ποιῆσαι ποτέ, μό-
νου γὰρ τοῦ θεοῦ ἐστιν ἐν δυσὶ τόποις ἢ ἐν ὅλῳ τῷ κόσμῳ ἐν
αὐτῇ τῇ ὥρᾳ εὑρίσκεσθαι. ἐπεὶ καὶ αὐτῷ αἰνοῦνται σὺν

νάμεις ἀπολιμπάνονται παντελῶς τῆς ἐν ὕμνοις δοξολογίας, ἡνίκα δ᾽ ἂν ἀποστέλλονται εἰς διακονίαν ἐπὶ γῆς :–

Ἐρώτ. Τί διαφέρει ἡ οὐσία τοῦ ἀγγέλου, τῆς οὐσίας τῆς ψυχῆς τοῦ ἀνθρώπου :–

Ἀποκ. Τρεῖς οὐσίας ἀκαταλήπτους παρὰ ἀνθρώποις εὑρίσκομεν, ἃς οὐδεὶς οὐδαμῶς οὔτε εἶδεν ἐπὶ γῆς, οὔτε ἰδέσθαι δύναται ὥς εἰσι, λέγω δὴ Θεοῦ καὶ ἀγγέλου καὶ ψυχῆς. ὅμως στοχαζόμεθα ὅτι ὅσον διαφέρει τῆς σελήνης ὁ ἥλιος, τοσοῦτον ὑπερέχει καὶ λαμπροφορεῖ ἡ τῶν ἀγγέλων οὐσία, τῆς οὐσίας τῆς ψυχῆς :–

Ἐρώτ. Καὶ πῶς οἱ προφῆται πολλάκις φαίνονται ἰδόντες τὸν Θεόν :–

Ἀποκ. Μετὰ πάντας τοὺς προφήτας, καὶ μετὰ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ, εἶπεν ὁ ἅγιος εὐαγγελιστὴς καὶ θεολόγος Ἰωάννης. ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε. καὶ ἵνα πιστώσηται ὡς φοβερὸν καὶ ξένον τὸ ῥῆμα, ἐπάγει ὁ μονογενὴς υἱός. ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. ὁμοίως καὶ ὁ ἅγιος ἀπόστολος Παῦλος φησὶ περὶ τοῦ Θεοῦ. ὃν εἶδεν ἀνθρώπων οὐδείς, οὐδὲ ἰδεῖν δύναται. ὥστε οὐδεὶς Θεοῦ οὐσίαν γυμνὴν εἶδεν οὐδαμῶς, ἀλλὰ πρὸς τὴν τῶν ἀνθρώπων ὀφθαλμῶν ἀσθένειαν συγκαταβατικῶς ὁ Θεὸς σχηματιζόμενος, τοῖς προφήταις ἐφαίνετο. ἀμέλει ἄσαρκος τότε ὑπάρχων, ὡς ἄνθρωπος αὐτοῖς πολλάκις ἐφαίνετο σεσαρκωμένος. ὅθεν πρόδηλον, ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον, ἀλλὰ τὴν δόξαν. ὥσπερ καὶ ἐπὶ τῶν ἀγγέλων καὶ τῶν γυμνῶν ψυχῶν χρὴ ἐννοεῖν. μόνη γὰρ ἡ ἁγία τριὰς γυμνὴν οὐσίαν ὡς ἔστι τὸ τα

Κόλπους ἀκούων πατρικούς, μηδὲν ὑποπτεύσῃς σωματικὸν ἐπὶ Θεοῦ. τὴν γὰρ γνησιότητα καὶ τὸ ἀχώριστον τοῦ υἱοῦ δεῖξαι βουλόμενος τοῦ υἱοῦ πρὸς τὸν πατέρα ὁ εὐαγγελιστής, τούτου τοῦ ὀνόματος ἐμνήσθη :–

βεεηλ ἐθεάσατο :–

Τί οὖν οὐδὲ οἱ ἄγγελοι κατ' οὐσίαν φαίνονται ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις; :– ἐρώτ.

Οὐδαμῶς· οὐδὲ γὰρ δύναται φθαρτὸς ὀφθαλμὸς θεωρῆσαι οὐσίαν ἀφθάρτου. ἐντεῦθεν δέ ἐστι σαφῶς ἐπιγνῶναι, ὅτι οὐ κατ' οὐσίαν φαίνονται ἡμῖν οἱ ἄγγελοι, ἐπειδὴ οὐδενὶ σχήματι ἐπὶ γῆς ἐμφανίζονται, ἀλλ' οἱ μὲν ἐν σχήματι νεανίσκων μετασχηματιζόμενοι, οἱ δὲ ἐν εἴδει στρατιωτῶν· καὶ ἁπλῶς πολλαὶ αὐτῶν αἱ πρὸς ἡμᾶς μετασχηματιζόμεναι μορφαί, μία δὲ οὐσία :– ἀπόκρ.

Τί δέ ἐστιν ὅρος οὐσίας ἀγγέλων :– ἐρώτ.

Ἄγγελός ἐστι ζῶον ἄϋλον, ὑμνολογικὸν, ἀθάνατον :– ἀπόκρ.

Τί τὸ ἔργον τῶν ἐπουρανίων δυνάμεων ἐν ὅσοις ὑπάρχει :– ἐρώτ.

Ὕμνος ἀληθὴς, καὶ αἶνος ἄπαυστος τῆς μεγαλοπρεπείας τοῦ θεοῦ, τάχα δὲ καὶ εὐχὴ ἔμπονος ὑπὲρ τῆς σωτηρίας ἡμῶν. ἐπεὶ δὲ καὶ αὐταὶ αἱ τάξεις καὶ στρατιαὶ λέγονται, δεῖ λοιπὸν ἐννοεῖν καὶ τάξιν διδασκαλικήν· τάξιν ἐπιτρεπτικήν· τάξιν διακονητικήν· τάξιν φυλακτικήν· τάξιν ἱερουργικήν· τάξιν ψυχῶν ζωγρηστικήν· τάξιν προνοητικήν· τάξιν πολεμικήν· τάξιν ἐν ὅσοις παραμονητικήν. ὥσπερ δὲ τάξεων διαφορὰς ἐν ταῖς ἄνω δυνάμεσιν ἔγνωμεν, οὕτω καὶ στάσεως. οἱ μὲν ὅσῳ θεῖοι καὶ τάξει ὑψηλοί, τὰ σεβάσματα, ἀμέσως παρὰ θεοῦ μανθάνουσιν ὡς πάντων ἀνώτερα καὶ θεῷ πλησιάζοντα· ταῦτα δὲ διδάσκει τὰ κατώτερα τάγματα, καὶ οὕτως ἐφεξῆς τὰ ἀνώτερα διδάσκει ἀπόκρ.

τὰ καλώτερα· τὸ ὅ,τι καλώτερον τάγμα εἶσιν οἱ ἄγγελοι, οἱ
καὶ τῶν αὐτῶν ὄντες διδάσκαλοι :~

Ἐρώτ. Ἆρα ὅτι ἡμῶν μέμνηνται αἱ ἀπελθοῦσαι ψυχαί, ὥσπερ καὶ οἱ ἅ-
γιοι ἄγγελοι ἡμῶν μνημονεύουσιν; :~

Ἀποκρ. Οἱ μὲν τῶν ἁγίων ψυχαὶ πάντως, αἱ δὲ τῶν ἁμαρτωλῶν οὐ-
δαμῶς· τὴν γὰρ μένουσαν αὐτοὺς ἐκδεχόμενοι κόλασιν,
ἐκπόλως περὶ ταύτης καὶ μόνον μεριμνῶσι, μηδενὸς ἑτέρου
φροντίζοντες :~

Ἐρώτ. Τί ἄρα καὶ τὸ ἔργον ἐκεῖ τῶν ἀπελθουσῶν ψυχῶν; :~

Ἀποκρ. Ψυχὴ σώματος ἀπηλλαγμένη, οὐδὲ ἀγαθόν τι οὐδὲ πονηρὸν οὐδὲ
πρᾶξαι δύναται· αἱ γὰρ ὀπτασίαι ἃς βλέπουσί τινες
περὶ τῶν ἐκεῖσε, οἰκονομικῶς ὁ θεὸς ταύτας δείκνυσι πρὸς
ὠφέλειαν. ὥσπερ γὰρ ἡ λύρα ἐὰν μὴ ἔχῃ τὸν κρούοντα, ἀρ-
γὸν ἔσται καὶ ἄπρακτος, οὕτω καὶ ψυχὴ καὶ τὸ σῶμα ἐξ
ἀλλήλων χωρισθέντα, οὐδὲν ἐνεργῆσαι δύνανται. αἱ μέν-
τοι τῶν ἁγίων ψυχαὶ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνεργούμεναι, μετ'
ἀγγέλων ἐν χορῷ ἑστῶσαι θεὸν ὑμνοῦσι τε ἀγάλλονται :~

Ἐρώτ. Τί οὖν οὐκ ὀνίνανται τινὸς εὐεργεσίας καὶ αἱ τῶν ἁμαρτω-
λῶν ψυχαί, γενομένων ὑπὲρ αὐτῶν συνάξεων καὶ εὐποι-
ϊῶν καὶ προσφορῶν; :~

Ἀποκρ. Εἰ μέν τινος εὐεργεσίας μετεῖχον ἐκ τούτων, οὐκ ἂν ἐν τῇ προ-
σκομιδῇ ἐμνημόνευον, ἀλλ' ὥσπερ εἴ τις ἄμπελος ἀνθῇ
ἔξω ἐν τῷ ἀγρῷ, αἰσθάνεται τῆς ὀσμῆς αὐτῆς ὁ ἀποκεκλει-
σμένος οἶνος τῇ ζέσει αὐτοῦ καὶ αὐτός, οὕτως φαμὲν καὶ τὰς
τῶν ἁμαρτωλῶν ἐν τῷ ᾅδῃ ψυχὰς μετέχειν εὐεργεσίας τινός;

ἐκ τοῦ ὑπὲρ αὐτῶν γινομένης ἀναιμάκτου θυσίας καὶ εὐποιΐας, ὡς μόνος ἐπίσταται καὶ κελεύει ὁ ζώντων τε νεκρῶν ἐξουσιάζων θεὸς ἡμῶν :-

Ἆρα δυνατὸν τυγχάνει τινὸς χάριν οὐ συνεχώρησεν ὁ θεὸς ψυχὴν τινὸς τῶν ἐκεῖ ἀπελθόντων ἐπαναλῦσαι πρὸς ἡμᾶς, καὶ διηγεῖσθαι ἡμῖν πρὸς ὠφέλειαν ἡμῶν, πῶς εἰσι τὰ πράγματα ἐν τῷ ᾅδῃ, καὶ ἡ ἀνάγκη ἡ ἐκεῖ ὑπάρχουσα; :- ἐρώτ.

Πολλὴ ἐντεῦθεν ἡ βλάβη ἐν τῷ βίῳ γίνεσθαι ἔμελλε. πολλοὶ γὰρ λοιπὸν δαίμονες ἐν σχήματι αὐτῶν εἶχον μετασχηματίζεσθαι τῶν προκοιμηθέντων, καὶ ἔμελλον ἐκ νεκρῶν ἐγείρεσθαι λέγειν ἑαυτούς. καὶ πολλὰ ψευδῆ πράγματα καὶ δόγματα περὶ τῶν ἐκεῖσε εἶχον ἡμῖν παρεισάγειν πρὸς τὴν ἡμῶν πλάνην καὶ ἀπώλειαν οἱ δαίμονες :- ἀπόκρ.

Πολλοὶ λέγουσιν ὅτι συνέφερε τῷ ἀνθρώπῳ προγινώσκειν τὴν ἡμέραν τῆς ἑαυτοῦ τελευτῆς :- ἐρώτ.

Εἰ πάντα πρὸς τὸ συμφέρον ὁ θεὸς ἐν σοφίᾳ ἐποίησεν, οὐ καὶ οὐδὲ τοῦτο ἀσκόπως ἡμᾶς ἀπέκρυψεν. εἰ γὰρ προεγίνωσκεν ἄνθρωπος τὴν ἡμέραν τῆς ἑαυτοῦ τελευτῆς, ὅλον τὸν βίον αὐτοῦ ἔμελλεν ἀδεῶς ἁμαρτάνειν, καὶ πρὸ δύο πολλάκις ἢ τριῶν ἡμερῶν τῆς ἑαυτοῦ τελευτῆς, ἀπεδίδου ἑαυτὸν εἰς μετάνοιαν. ἀκούσας τοῦ θεοῦ διὰ τοῦ προφήτου εἰπόντος· ὅτι ἐν ᾧ εὕρω σε, ἐν αὐτῷ καὶ κρινῶ σε. καὶ ποία λοιπὸν εἰπέ μοι χάρις τῷ ἀνθρώπῳ, ἵνα ἑκατὸν φόνους ποιήσῃ καταφρονῶν τοῦ θεοῦ, καὶ δύο ἡμέρας μόνον τῶν κακῶν ἡσυχάσει :- ἀπόκρ.

Τίνος χάριν προσκυνοῦμεν ἡμεῖς οἱ χριστιανοὶ κατὰ ἀνατολάς, ἐρώτ.

καὶ τί δήποτε οἱ ἰουδαῖοι κατὰ νότον :-

ἐρ. ἀπ. Οὐ μία καὶ ὁμοία ἡ περὶ τούτων ἀπόδειξις καὶ ἀπόκρισις. ἑτέρως γὰρ ἰουδαίοις ἀπολογητέον, καὶ ἑτέρως ἕλλησιν ἑρμηνευτέον, καὶ ἄλλως πάλιν περὶ τούτου χριστιανοῖς σαφηνιστέον. ἰουδαίοις μὲν οὖν φαμέν, ὅτι τοῦτο χρεὼν οἱ πιστοὶ προσκυνοῦμεν κατὰ ἀνατολάς· τὸ τῆς τοῦ ἁγίου νομοθετήσαντος ἡμῖν διὰ τοῦ προφήτου εἰπόντος· προσκυνήσομεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες κυρίου. ὁ προφήτης ζαχαρίας διδάξει αὐτὸ λέγων· καὶ στήσονται οἱ πόδες κυρίου εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατὰ ἀνατολὰς κατέναντι ἱερουσαλήμ. ὅθεν καὶ αὐτοὶ οἱ ἰουδαῖοι ἐν ἱερουσαλὴμ προσευχόμενοι, κατὰ ἀνατολὰς προσέχουσιν εἰς τὸ ὄρος τῶν ἐλαιῶν. καὶ αὕτη μὲν διὰ βραχέων ἡ πρὸς ἰουδαίους ἀπολογία. πρὸς δὲ ἕλληνας ἐκεῖνο φαμέν, ὅτι οὐχ ὡς ἐν ἀνατολαῖς περιγραφομένου τοῦ θεοῦ, κατὰ ἀνατολὰς προσκυνοῦμεν, ἀλλ' ἐπειδὴ ὁ θεὸς φῶς ἀληθινόν καὶ ἔστι καὶ λέγεται, τοῦτο χρεὼν πρὸς τὸ φῶς τὸ κτιστὸν ἀφορῶντας, οὐκ αὐτὸ ἀλλὰ τὸν ποιητὴν αὐτοῦ προσκυνοῦμεν, ἐκ τοῦ λαμπροτέρου στοιχείου τὸν πρὸ πάντων τῶν στοιχείων καὶ τῶν αἰώνων ὑπέρλαμπρον θεὸν γεραίροντας. οἱ δέ γε πιστοὶ ἀκουέτωσαν καὶ μανθανέτωσαν, ὅτι περὶ τοῦτο χρεὼν οἱ μακάριοι ἀπόστολοι κατὰ ἀνατολὰς προσέχειν τοὺς τῶν χριστιανῶν ἐκκλησίας ἐποίησαν, ἵνα πρὸς τὸν παράδεισον ἀφορῶμεν, ὅθεν ἐξεπέσαμεν, πρὸς τὴν ἀρχαίαν ἡμῶν πατρίδα καὶ χώραν, αἰτούμενοι τὸν θεὸν καὶ δεσπότην ἀποκαταστῆσαι ἡμᾶς, ὅθεν καὶ ἐξωρίσθημεν. εἰς νότον δὲ προσέχειν

ἰουδαίοις οἱ προφῆται ἐνομοθέτησαν, διὰ τὸ ἐκ νότου τῆς ἱερουσαλήμ, ἤγουν ἐν βηθλεέμ, μέλλοντα τίκτεσθαι κύριον, διὸ καὶ ἔλεγεν ὁ προφήτης, ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, τουτέστιν ἐκ νότου :—

Τίνος χάριν τοῦ Χριστοῦ περιτμηθέντος, οὐ περιτεμνόμεθα καὶ ἡμεῖς :— ἐρώ(τησις)

Ὁ μὲν Χριστὸς υἱὸς θεοῦ ὢν πληρῶσαι ἦλθε τὸν νόμον, ἵνα μὴ νομισθῇ ἀντίδικος καὶ ἀντίθεος εἶναι τοῦ θεοῦ τοῦ δεδωκότος τὸν νόμον, τοῦτο γὰρ ἄνω καὶ κάτω ἐνεκάλουν αὐτῷ οἱ ἰουδαῖοι. αὐτοῦ δὲ τὰ ὑπὲρ ἡμῶν πληρώσαντος τὰ ἐν νόμῳ, οὐκέτι λοιπὸν καὶ ἡμεῖς ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν, διό φησι πρὸς ἡμᾶς διὰ παύλου ὁ Χριστός· ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ὥστε ἐντεῦθεν σαφῶς γινώσκομεν, ὅτι ἀλλότριοι τοῦ Χριστοῦ εἰσὶ πάντες οἱ περιτεμνόμενοι, οἵτε πιστοί, οἵτε ἄπιστοι, οἵτε ἰουδαῖοι, οἵτε ἀλλόπιστοι, ὡς ἐν νόμῳ μωσαϊκῷ καυχώμενοι, καὶ οὐ τῷ Χριστῷ ἑπόμενοι. ὥσπερ γὰρ ἅπαντες οἱ τὴν δι' αἵματος καὶ ἀλόγων θυσίαν θεῷ προσφέρειν νομίζοντες, τὴν Χριστοῦ θυσίαν ἀνατρέπουσι καὶ τὸ δελύονται, οὕτω καὶ πάντες οἱ τὴν σάρκα περιτεμνόμενοι τὴν πνευματικὴν περιτομὴν ἤγουν τὸ βάπτισμα τὸ ἅγιον ἐξουθενοῦντες καὶ χλεύην ἡγούμενοι, λοιδοροῦσι καὶ ἀποστρέφονται. καὶ πάλιν ὁμοίως. οὐκ ἐν τῷ νόμῳ ὁ Χριστὸς τὸν διάβολον κατήργησε καὶ κατήσχυνε καὶ τοὺς δαίμονας, οὐδ' ἐν αὐτῷ τὴν σωτηρίαν εἰργάσατο, ἀλλ' ἐν τῷ σταυρῷ. ὅθεν ὅπου μὴ ὁρῶσιν οἱ δαίμονες, οὐ τρέμουσιν οὐδὲ φοβοῦνται. σταυρὸν δὲ πολλάκις ὁρῶντες, τρέμουσι καὶ φεύγουσι καὶ καταργοῦνται καὶ διώκονται :— ἀπό(κρισις)

ἐρώ. Τοῦ θεοῦ διὰ τῶν προφητῶν ἐπιτρέποντος μὴ προσκυνῆσαι χειροποίητα, διατί προσκυνοῦμεν εἰκόνας καὶ σταυρόν, ἔργα τεκτόνων ὑπάρχοντα καθὼς καὶ τὰ εἴδωλα λατρεύειν:

ἀπόκρ. Οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν οἱ πιστοί, μὴ γένοιτο, ὡς οἱ ἕλληνες, ἀλλὰ μόνον τὴν σχέσιν καὶ τὴν ἀγάπην τῆς ψυχῆς ἡμῶν τὴν πρὸς τὸν χαρακτῆρα τῆς εἰκόνος ἐμφανίζοντες. ὅθεν πολλάκις τοῦ χαρακτῆρος λειανθέντος, ὡς ξύλον λοιπὸν ἀργὸν τὴν ποτὲ εἰκόνα διακαίομεν. καὶ ὥσπερ ὁ Ἰακὼβ μέλλων τελευτᾶν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσὴφ προσκυνήσας, (ση. προσκυνητά) οὐ τὴν ῥάβδον τιμῶν ἀλλὰ τὸν ταύτην κατέχοντα, οὕτως καὶ οἱ πιστοί, οὐ δι' ἑτέρου τινὰ τρόπον τὰς εἰκόνας ἀσπαζόμεθα, εἰ μὴ διὰ πόθον, οὗ ἐμφανίζομεν τοῖς ποιοῦσιν. ὥσπερ καὶ τὰ τέκνα ἡμῶν, ἢ καὶ πατέρας καὶ φίλους ἀσπαζόμενοι, καθὼς καὶ Ἰουδαῖοι ποτὲ τὰς τοῦ νόμου πλάκας, καὶ τὰ δύο χερουβὶμ τὰ χρυσᾶ καὶ τὰ γλυπτὰ προσεκύνουν, οὐ τιμῶντες τὴν τοῦ λίθου καὶ χρυσίου φύσιν, ἀλλὰ τὸν ταῦτα ἐπιτρέψαντα γενέσθαι κύριον. οἱ δ' ἐξ ἀλαζονείας ἀποστρεφόμενοι προσκυνεῖν τὸν σταυρὸν καὶ τὰς εἰκόνας τῶν ἁγίων, λεγέτωσαν νῦν οἱ ἀνόητοι. πῶς μύρα πολλάκις ἁγίων εἰκόνες ἀνέβλυσαν, δυνάμει θεοῦ. πῶς βέλος δεξαμένη ἁγίου ἄψυχος στήλη, ὡς ἐν σώματος φύσει αἷμα παραδόξως ἐξέβαλε. πῶς ἐκ σταυρῶν καὶ λειψάνων καὶ εἰκόνων πολλάκις, δαίμονες βοῶντες ἀπελαύνονται. ἵνα δὲ τοὺς ἄφρονας ἐπιπλέον ἐντρέψωμεν, ἄκουσον λόγου πιστοῦ παρ' ὧν ἡμῖν διηγήθη περὶ εἰκόνος, φησὶ γοῦν ὅτι ἐν Ἱεροσολύμοις ἑνὶ τῶν ἀσκητῶν, χαλεπῶς ἐπέθετο καὶ δι-

ἐνόχλει ὁ πορνικὸς δαίμων, ἐν μιᾷ οὖν φαίνεται αὐτῷ τῆς
ὄψεως τὸ πιθαλέστερον. ἐὰν θέλῃς ἵνα σε μὴ πολεμῶ, μὴ προ-
σκυνήσῃς τῇ εἰκόνι ταύτῃ, καὶ ἀφίσταμαι ἀπὸ σοῦ. εἶχε δὲ ἡ εἰκὼν
τὸν χαρακτῆρα τῆς ἁγίας θεοτόκου δεσποίνης ἡμῶν βαστάζουσα τὸν
κύριον ἡμῶν Ἰησοῦν Χριστόν. εἶτα καί φασι πρὸς ταῦτα οἱ ἀποστρεφόμενοι
καὶ ἐπιστρέφοντες μὴ προσκυνεῖσθαι τοὺς χαρακτῆρας τῶν
ἁγίων, οὓς πρὸς δὴ ὑπόμνησιν καὶ μόνον ἐκτυποῦμεν, καὶ οὐ δι᾽
ἕτερον τρόπον. καὶ οὗτος μὲν ὁ περὶ εἰκόνων διὰ βραχέων λό-
γος. τὸ δὲ σταυρὸν πρόδηλον, ὅτι διὰ τὸν ἐν αὐτῷ σταυρωθέντα Χριστόν, προ-
σκυνοῦμεν οἱ πιστοὶ καὶ ἀσπαζόμεθα :—

Οὐκοῦν ἐπειδὴ καὶ εἰς ὄνον ὁ Χριστὸς ἐπεκάθησεν, ὀφείλομεν λοιπὸν ἐρώτ.
καὶ τοὺς ὄνους ἀσπάζεσθαι. οὕτω γὰρ λέγουσιν πρὸς ἡμᾶς Ἰου-
δαίων παῖδες καὶ Ἑλλήνων :—

Οὐκ ἐν τῷ ὄνῳ ὁ Χριστὸς κατήργησε τὸν διάβολον καὶ τοὺς δαίμονας, ἀπόκρ.
οὐδὲ ἐν αὐτῷ τὴν σωτηρίαν εἰργάσατο, ἀλλ᾽ ἐν τῷ σταυρῷ. ὅθεν ὄνους
μὲν ὁρῶντες οἱ δαίμονες, οὐ φοβοῦνται οὐδὲ τρέμουσιν.
σταυρὸν δὲ πολλάκις ὁρῶντες, φεύγουσι καὶ τρέμουσι καὶ καταρ-
γοῦνται καὶ διώκονται :—

Τίνος δὲ χάριν οἱ πιστοὶ ἅπαντες σταυροὺς μὲν αὐτοτύπους τοῦ σταυροῦ ἐρώτ.
τοῦ Χριστοῦ ποιοῦμεν, τῆς δὲ ἁγίας αὐτοῦ λόγχης ἢ τοῦ καλάμου ἢ
τοῦ σπόγγου, αὐτότυπα οὐ κατασκευάζομεν, ἅγια γάρ εἰσι κα-
θὰ καὶ ὁ σταυρός :—

Τοῦ μὲν σταυροῦ τύπον ἐκ δύο ξύλων συνάπτοντες, προσκυνοῦμεν. ἀπόκρ.
ἡνίκα δέ τις ἡμῶν τῶν ἀπίστων ἐγκαλέσει ὡς ξύλον προσκυ-
νοῦντας, δυνάμεθα τὰ δύο ξύλα χωρίσαντες, καὶ τὸν τύπον

τοῦ σταυροῦ διαλύσαντες, ὡς ἀργὰ ταῦτα ἡγεῖσθαι ξύλα, καὶ τὸν ἄπιστον πεῖσαι ὅτι οὐ τὸ ξύλον σεβόμεθα, ἀλλὰ τὸν τοῦ σταυροῦ τύπον. ἐπὶ δὲ λόγχης ἢ καλάμου ἢ σπόγγου, τοῦτο ποιῆσαι ἢ δεῖξαι οὐ δυνάμεθα: —

ἐρώτ·

Πόθεν δηλονότι κρείττω πάσης τῆς ὁποιωνοῦν πίστεως οἱ χριστιανοὶ πιστεύομεν. πᾶσα γὰρ πίστις εὐσεβεστέραν ἑαυτὴν εἶναι νομίζει τῶν λοιπῶν πίστεων: —

ἀπόκρ·

Πολὺς ὁ περὶ τούτων λόγος, καὶ μακρὰ ἡ περὶ χριστιανῶν πίστεως ἀπόδοσις, ὅμως δὲ δύο τινὰ σημεῖα ὁρῶνται περὶ ἡμῶν, τὴν ἡμῶν εὐσέβειαν καὶ τὴν τοῦ θεοῦ περὶ ἡμᾶς ἀγάπην καὶ σκέπην ἐμφανίζοντα. πρῶτον μὲν ὅτι οὐχ εὑρίσκομεν ἀπ' ἀρχῆς αἰῶνος ἔθνος ὑπὸ πάντων ἐθνῶν πολεμηθέν, ὑπὸ χρόνους τοσούτους τοσούτους καὶ μὴ ἐξαλειφθέν, εἰ μὴ μόνον τὴν τῶν χριστιανῶν πίστιν, ἥτις οὐκ ἂν ἔμενεν ἀνεξάλειπτος, οὕτως ὑπὸ πάντων ἐθνῶν πολεμουμένη, εἰ μὴ χεὶρ κυρίου ἐφύλαττε καὶ φυλάττει αὐτὴν ἀνεξάλειπτον. δεύτερον δέ, ὅτι περ οὐδεὶς βασιλεὺς ὑπὸ χριστιανῶν βαρβάροις ποτὲ παρεδόθη εἰς θάνατον. καὶ ὅτε τὸ τούτων ἐθνῶν τὸ βασίλειον πολεμησάντων, οὐ μόνον δὲ τὸν βασιλέα, ἀλλ' οὐδὲ τὴν ἑαυτοῦ εἰκόνα ἐκ τοῦ νομίσματος καθαιρῆσαι ἕως τοῦ σταυροῦ ἴσχυσαν. καὶ περὶ τῶν τυράννων τῶν τοσοῦτον κρατησάντων, μὴ γὰρ ψιλόν τε καὶ εὐτελὲς πρᾶγμα τοῦτο εἶναι νομισθῇ, εἰ μὴ γὰρ ὑπὲρ πάσας τὰς πίστεις τὴν ἡμετέραν ὁ θεὸς ἐξελέξατο καὶ ἠγάπησεν. οὐκ ἂν αὐτὴν ἀναμέσον τῶν ἐθνῶν ὡς λύκων οὕτως ἐφύλαττεν ἀβλαβῆ τε καὶ ἄτρωτον, πλὴν οὐδὲ ἔμελλεν ὁ θεὸς συγχωρεῖν πεπλα

νημένην πίστιν κατασκευάσει μετὰ τὴν σάρκωσιν τοῦ υἱοῦ
αὐτοῦ καὶ θεοῦ ἡμῶν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς.
ὅθεν καὶ αὐτὸ τοῦτο τὸ ἐν πᾶσι τοῖς ἔθνεσι πιστευθῆναι, τὸ
εὐαγγέλιον τοῦ Χριστοῦ μαρτυρία ἐστὶν ἀψευδεστάτη, ὅτι οὐκ ἔστιν
ἄλλη πίστις εὐσεβὴς ἐν τῇ ὑπ' οὐρανόν :—

Καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς ὁ σατανᾶς οὐ διεῖλεν ἄλλην πί- ἐρώ.
στιν ἐπὶ γῆς εἰς τοσαύτας αἱρέσεις, εἰ μὴ τὴν πίστιν τῶν χρι-
στιανῶν :—

Ὡς ἀντικειμένην αὐτῷ δηλονότι καὶ καταργοῦσαν αὐτόν. ποῖα ἀπό.
γὰρ εἶπέ μοι φροντὶς ἢ μέριμνα τῷ σατανᾷ Ἰουδαίους, ἢ σα-
μαρείτας, ἢ ἕλληνας πολεμῆσαι, ἢ μερίσαι εἰς αἱρέσεις τε πί-
στεις διαφόρους, πάντα γὰρ αὐτὰ αὐτοῦ εἰσι, τὸ οὐδαμῶς ὁ σα-
τανᾶς τὰ ἑαυτοῦ πολεμεῖ, ἀλλὰ τὰ τοῦ θεοῦ. ὥστε τῷ βουλομένῳ
καὶ ἐντεῦθεν ἔστι μαθεῖν, ὅτι οὐχ ὑπάρχει ἑτέρα πίστις εὐσε-
βὴς ἐπὶ γῆς, εἰ μὴ μόνον ἡ εἰς Χριστόν. αὐτῷ ἡ δόξα καὶ ἡ τιμὴ
καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας, ἀμήν :—

Ποίῳ δὲ τρόπῳ πειθόμεθα τὸ ἰσχυρὸν καὶ βέβαιον καὶ ἀ- ἐρώ.
κατάμαχον, ὅτι ὑπὲρ πάσας τὰς αἱρέσεις ἡ καθολικὴ ἐκκλη-
σία τὴν ὀρθὴν πίστιν κατέχει, τὸ οὐ σφάλλεται :—

Οἱ μὴ δυνάμενοι γραφῶν τε καὶ δογμάτων ἀκρίβειαν καὶ ἀπό.
βάθος ἀκοῦσαι, ἐντεῦθεν τὸ ἀσφαλὲς καὶ ἀκριβὲς τῆς καθολι-
κῆς Χριστοῦ ἐκκλησίας πιστωθῆναι ὀφείλουσιν, λέγω δὴ ἐκ τοῦ,
πάντας τοὺς ὁσίους καὶ τιμίους τῶν Χριστοῦ παθημάτων τόπους
τῇ καθολικῇ καὶ ὀρθοδόξῳ ἡμῶν πίστει καὶ ἐκκλησίᾳ, ὑπὸ
θεοῦ δωρηθῆναί τε καὶ πιστευθῆναι, λέγω δὴ τὴν ναζαρέτ, ἔνθα

ὁ χριστὸς ἐσκήνωσεν· τὴν βηθλεέμ, ἔνθα κατὰ σάρκα ἐτέχθη· τὴν σιών, ἔνθα τὴν θείαν εὐχαριστίαν εἰργάσατο· τὸν ἰορδάνην, ἔνθα τὸ ἅγιον βάπτισμα ἀνεκαίνισεν· τὸ θαβώρ, ἔνθα τὴν τῶν οὐρανῶν βασιλείαν προετύπωσεν· τὸ τῶν ἐλαιῶν ὄρος, ἔνθα πρὸς τὸν πατέρα ἀφ' ἡμῶν ἀνελήλυθεν· οὕσπερ ἅπαντας τοὺς ἁγίους τόπους αὐτοῦ καὶ σεβασμίους, οὐκ εἰκῆ οὐδὲ μάτην ἡ καθολικὴ ἐκκλησία ἐπίστευσεν, ἀλλ' ὡς εὐσεβεστέρα δηλονότι καὶ τιμιωτέρα πάντων τῶν παρὰ χριστιανοῖς ὀνομαζομένων πιστῶν καὶ ἐκκλησιῶν· καὶ ὥσπερ βασιλεὺς τοὺς ἐντίμους αὐτοῦ καὶ τοὺς παλαιοὺς πυλῶνας καὶ θησαυροὺς τοῖς πιστοτέροις πάντων τῶν ὑπουργῶν αὐτοῦ ἐγχειρίζει τὰ ἑαυτοῦ ἐπιστεύει, οὕτως καὶ ὁ χριστὸς ἀπαρχῆς τῆς παρουσίας αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ τοὺς σεβασμίους αὐτοῦ τόπους πεπίστευκεν· ἐὰν δ' ἐλέγχει ὁ ἐξ ἐναντίας ὅτι βασιλικῇ τυραννίδι τούτους κατέχομεν, μανθανέτω ὁ τοιοῦτος, ὅτιπερ καὶ βαρβάρων πολλάκις τὴν παλαιστίνην παραλαβόντων, οὐ συνεχώρησεν ὁ χριστὸς τοὺς αὐτοῦ τόπους αἱρετικοῖς παραδοθῆναι, ἀλλὰ καὶ πρὸς βελτίω τοῦτο ἐπεχείρησεν, συνέβη ὡς πάλιν ἡ καθολική ἐκκλησία τούτους ἀπολαβεῖν, ὡς χρέους τῶν ἁγίων χάριν τοῦ τοῦ ἡμῶν αἰῶνος καὶ τόπων :—

ἐρώ. Ποῦ ἐπέτρεψεν ὁ θεὸς τοῖς ἀποστόλοις χριστιανοὺς ὀνομάζειν τοὺς πιστεύοντας ἐν χριστῷ :—

ἀπόκ. Ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων ἀκούομεν, ὅτι ἐν αὐτῇ ὀνομαζόμενοι πρῶτος χριστιανισμός, ἡ γοῦν ἀποκάλυψις τοῦ θεοῦ τοῖς ἀποστόλοις ἐπιτρέπων καλεῖσθαι ἡμᾶς χριστιανούς.

διὸ ἀκριβῶς γινωσκέτω πᾶς αὐτὸς ὅτι Χριστοῦ πίστει προση-
θεῖν βουλόμενος, ὅτι πᾶσα πίστις ἐπὶ τῆς γῆς εἰς ὄνομα ἀνθρώπου
ὀνομαζομένη, λέγω δὴ ἀπὸ σίμωνος σιμωνιανοί· καὶ ἀπὸ
μαρκίωνος μαρκιωνισταί· καὶ ἀπὸ ἀρείου ἀρειανοί· καὶ ἀπὸ
εὐνόμιου εὐνομιανοί· αὗται πᾶσαι καὶ αἱ λοιπαὶ εἰσὶν ἀνθρώπων
ὀνόματα, καὶ διὰ τοῦτο οὕτως ὀνομαζόμεναι πίστεις, οὐκ
εἰσὶ τοῦ θεοῦ, οὐδὲ ὁ θεὸς ἐν αὐταῖς. εἰ γὰρ τοῦ θεοῦ εἰσί, τίνος χάριν
ἐν ὀνόμασιν αὐτῶν ὀνομάζονται καὶ σεμνύνονται· καύχημα
τοίνυν ἡμῶν ἐστι καὶ χρημάτων ἡ καθολικὴ ἐκκλησία, καὶ τὸ καὶ
χρηματίζεσθαι καὶ ὀνομάζεσθαι χριστιανούς, ὡς μὴ παρὰ ἀνθρώπων
ὀνομασθέντας, ἀλλ᾽ ὑπὸ τοῦ θεοῦ φωτισθέντας :-

Τίς πρῶτος πάντων ὀνόμασε τὸν θεὸν ἐπὶ τῆς γῆς :- ἐρώτ.

Πρόδηλον ὅτι ὁ διάβολος ὅτε εἴρηκε, τὸ ὅτε εἶπεν ὑμῖν ὁ θεὸς ἀπὸ ἀπόκ.
παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν· καὶ μὴ θαυμά-
σῃς τοῦτο, ἄγγελος γὰρ ὢν ποτὲ ὁ διάβολος, ἐγίνωσκεν ὑπὲρ
τὸν ἄνθρωπον τότε :-

Ποῦ θέλομεν λέγειν ὅτι ἐστὶν ὁ παράδεισος. οἱ μὲν γὰρ φασὶν ἐν ἐρώτ.
ἱερουσαλήμ, οἱ δὲ ἐν οὐρανοῖς :-

Οὐδέτερον τῶν δύο ἀληθές· καὶ ὅτι μὲν ἐν ἱερουσαλὴμ οὐκ ἔστιν ὁ παρά- ἀπόκ.
δεισος, μαρτυρεῖ ὁ ἀδὰμ ὁ ἐν τῷ κρανίῳ κείμενος, εὔδηλον
δὲ ὅτι οὐκ ἐν τῷ παραδείσῳ ἐτάφη, ἀλλ᾽ ἐξεβλήθη· ὅτι δὲ οὐκ
ἐν οὐρανοῖς ἐστὶν ὁ παράδεισος, μαρτυρεῖ ἡ γραφὴ λέγουσα· καὶ
ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν ἐδὲμ κατὰ ἀνατολάς· διδά-
σκει οὖν ἡμᾶς ὅτι ἐξ ἀνατολῶν πάσης τῆς γῆς ἐστὶν ὁ παρά-
δεισος. ὅθεν φασὶν ἴσον ἐποίησαν ἀσεβεῖς, ὅτι τοῦτο γὰρ

εἶναι τὰ εὐώδη πάντα τῶν ἀρωμάτων περὶ τὰ ἀνατολικώτερα τῆς γῆς, ὅπου τὰ ἰνδικὰ μέρη ὑπάρχουσιν, ὡς πλησιέστερα τυγχάνοντα τοῦ παραδείσου. καὶ ὥσπερ φοίνικες ἄρσενες τοὺς πλησιάζοντας φοίνικας θηλυκοὺς τῇ πνοῇ τῶν ἀνέμων συμβιβάζοντες καρποφορεῖν ποιοῦσιν, οὕτω δὴ καὶ ἐκ τοῦ παραδείσου τὴν τῶν ἀνέμων πνοὴν ἐρχομένην, τὰ πλησιέστερα τῶν ἐκεῖσε δένδρων δένδρα ἀρωματίζειν ποιεῖ, εὐωδίᾳ ἐρχομένῃ:~

ἐρώτ. Φθαρτὸν μὲν τὸν παράδεισον εἶναι, ἢ ἄφθαρτον:~

ἀπόκρ. Οὔτε φθαρτὸν αὐτὸν λέγομεν κατὰ τῶν παρ' ἡμῖν φυτῶν τε καὶ καρπῶν σῆψίν τε καὶ σκωληκῶν ποιότητα, οὔτε μὴν πάντη πάλιν ἄφθαρτον, κατὰ τὴν τοῦ μέλλοντος αἰῶνος ἀφθαρσίαν τε καὶ οὐ γινομένην παλαίωσιν, ἀλλὰ πρὸς μὲν τοὺς παρ' ἡμῖν καρπούς τε καὶ παραδείσους, πάσης φθορᾶς ἐστιν ὑψηλότερος. πρὸς δὲ τὴν δόξαν τῶν μελλόντων ἀγαθῶν, ὧν ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. πάνυ ἐλάττων ἐστὶ καὶ [illegible]:~

ἐρώτ. Πόσον χρόνον ἐν τῷ παραδείσῳ ἐποίησεν ἀδάμ:~

ἀπόκρ. Ἀμφιβάλλουσι τινὲς πρὸς ἣν ἠρώτησας πρόβλημα. οἱ μὲν γὰρ φασὶν ἑξαμηνιαῖον χρόνον, οἱ δὲ πλείονα. ἄλλοι δὲ ταύτας ὥρας καὶ μόνον, ὅσας ὁ κύριος ἐν τῷ ξύλῳ τοῦ σταυροῦ πεποίηκεν, ὅπερ οἶμαι ἀληθέστερον εἶναι. ἕτεροι δὲ ἐννέα καὶ μόνον ὥρας λέγουσιν αὐτὸν πεποιηκέναι:~

ἐρώτ. Τί δὲ ἦν ἄρα τὸ ξύλον ἐξ οὗ τὸν καρπὸν ἔφαγεν ὁ ἀδάμ:~

ἀπόκρ. Οὐδὲ ἐν τούτῳ συμφώνως εἰρήκασιν οἱ πατέρες, καὶ δικαίως. ὅπερ γὰρ ἑκουσίως ἡ θεία γραφὴ ἀπέκρυψεν, οὐδεὶς κατά-

ἀκρίβειαν εἰπεῖν ἴσασιν. ὅθεν οἱ μὲν σύκου εἶναι φασὶ τὸν καρπόν, οἱ δ' ἐπὶ πυρικὸν βρῶσιν. ἄλλοι δὲ τὴν τῆς εὔας θεωρίαν. δοκεῖ δὲ [illegible] βεβρωκέναι τὸν ἀδὰμ, ἐκ τῶν παραδείσῳ ὑπαρχόντων. ἴσως δ' ὁ πρῶτος ἀληθέστερος ὑπάρχει ὁ τοῦ σύκου, διὰ τὸ τοῖς φύλλοις αὐτοῦ εἰς σκέπην χρήσασθαι τοὺς προπάτορας, καὶ διὰ τὸ τὴν συκῆν ὕστερον ὑπὸ Χριστοῦ καταραθῆναι :~ Ὁ δ' ἐν ἁγίοις Ἰσίδωρος ὁ Πηλουσιώτης ἐν τῇ πεντηκοστῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ φησὶν ὅτι συκῆ ἦν, ἐξ ἧς οἱ προπάτορες ἔφαγον καρπόν. καὶ ὅτι ἀπὸ ἀρχαίων ἀνθρώπων ἐγνώσθη αὐτῷ τοῦτο :~

Καὶ εἰ μὴ παρέβη ὁ ἀδάμ, πῶς ἔμελλε γενέσθαι ὁ βίος τῶν ἀνθρώπων καὶ τὸ πλῆθος :~ ἐρώ.

Ἠδύνατο ὁ θεὸς ὁ λόγῳ συστησάμενος τὰ πλήθη τῶν ἀγγέλων, τιμιωτέρῳ καὶ καθαρῷ τρόπῳ συστήσασθαι πλήθη γένους ἀνθρώπων. τινὲς δέ φασιν, ὅτι τοῦ θεοῦ ἄρσεν καὶ θῆλυ ποιήσαντος, εὔδηλον ὅτι διὰ σπερμογονίας ἠβουλήθη τὸ γένος τῶν ἀνθρώπων συστήσασθαι. ὅμως δ' οὐκ ἠβούλετο διὰ παρακοῆς, ἀλλὰ μετὰ τιμῆς γενέσθαι τοῦτο :~ ἀπόκ.

Διατί δὲ ὁ θεὸς τῇ ἑβδόμῃ ἡμέρᾳ τὴν κτίσιν ἐτέλεσεν :~ ἐρώ.

Ἐπὶ τῶν ἀριθμῶν τὴν δεκάδα εὑρίσκομεν πλήρωμα παντὸς ἀριθμοῦ. ἐὰν γὰρ εἰς τὴν δεκάδα καταλάβεις, πάλιν εὐθέως εἰς τὴν μονάδα ὑποστρέφεις, ἑπτὰ ὁμοῦ καὶ τρεῖς ἐστὶν ὁ πληρέστατος ἀριθμός. καὶ τούτου χάριν αἱ ἑπτά εἰσι τῆς κτίσεως. ἡ δ' ἁγία τριὰς ἄκτιστος :~ ἀπόκ.

Πολλάκις τὰ ἐν πολλοῖς καθέστηκε ζητήσεις, τὸ, ἵνα δεῖ πε- ἐρώ.

τάττεσθαι, λέγω δὴ τὴν ἡμέραν πρὸ τῆς νυκτός, ἢ τὴν νύκτα
πρὸ τῆς ἡμέρας. ἐὰν γὰρ εἴπωμεν τὴν ἡμέραν προτερεύειν, εὑ-
ρίσκεται λοιπὸν ὁ Χριστὸς ἐν σαββάτῳ ἀναστάς. ἡ γὰρ νὺξ ἐκείνη
τοῦ σαββάτου ἦν, κατὰ τὸν λόγον Μωϋσέως τοῦ συγγραφέως
τῆς κοσμοποιίας :—

ἀπόκρ. Κατὰ μὲν τὸν σκοπὸν καὶ τὸν λόγον τὸν λέγοντα ὅτι εἶπεν ὁ Θεὸς πρὸ
πάντων γενηθήτω φῶς, πρόδηλον ὅτι ἡ ἡμέρα προτερεύει
τῆς νυκτός. τὸ γὰρ σκότος ἐκεῖνο τὸ ἐπάνω τῆς ἀβύσσου, οὔπω ἦν
ὀνομασθὲν νύξ, οὔτε ἀπὸ σελήνης καὶ ἀστέρων καὶ δώδεκα
ὡρῶν μετρούμενον, ἀναμφιβόλως οὖν τὸ φῶς προτερεύει
τοῦ σκότους. ὅμως ἵνα μὴ εὕρωσι πρὸς ἡμᾶς λέγειν οἱ Ιου-
δαῖοι ὅτι ἐν σαββάτῳ ἀνέστη ὁ Χριστός, τούτου χάριν προαπεφή-
νατο ὁ Θεός, νομοθετήσας καὶ αὖθις ἀπὸ ἑσπέρας τῆς παρα-
σκευῆς ἄρχεσθαι τῆς ἡμέρας τοῦ σαββάτου :—

ἐρώτ. Τίνος οὖν, τούτου χάριν καὶ ἡμῖν ὁ Θεὸς προσέταξεν ἀπὸ ἑσπέρας
τοῦ σαββάτου ἀπάρχεσθαι τῆς κυριακῆς; —

ἀπόκρ. Οὐ τούτου χάριν, ἀλλ᾽ ἐπειδὴ ὁ Θεὸς τὰ ἔθνη ἐκ τοῦ σκότους τῆς
ἀγνωσίας, καὶ ἐκ τῆς σκιᾶς τοῦ νόμου εἰς τὸ φῶς τῆς θεογνωσίας
τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ἐκάλεσε, πρεπόντως ἄρα ἡμῖν τὴν
ἀναστάσιμον αὐτοῦ ἡμέραν ἀπὸ ἑσπέρας ἄρχεσθαι, καὶ εἰς
φῶς τελειοῦσθαι προσέταξεν. ἀπρεπὲς γὰρ ἦν καὶ ἀναρμό-
διον, ἀπὸ φωτὸς ἄρχεσθαι καὶ εἰς νύκτα καὶ εἰς σκότος κα-
ταλήγειν τὰς τοῦ ἀληθινοῦ φωτὸς ἡμέρας :—

ἐρώτ. Τίνος χάριν τῇ εἰκάδι πέμπτῃ τοῦ λεγομένου παρὰ Ῥωμαίοις
Μαρτίου μηνός, ὁ Χριστὸς ἐν μήτρᾳ τῆς παρθένου ἐπὶ γῆς ἐσκή-

νῶσιν :-

Ἐπειδὴ ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπαρχῆς τὸν ἀδὰμ ἔπλασεν, ὅθεν καὶ ἐν αὐτῷ τῷ μηνὶ πάντα τὰ δένδρα καὶ αἱ βοτάναι, τε τὰ ζῶα εἰς καρποφορίαν καὶ τεκνογονίαν κινοῦνται, ὡς τῷ καιρῷ ἐκείνῳ ὑπὸ θεοῦ γενόμενα :- ἀποκ.

Ὁποῖοι δ' ἦσαν οἱ δερματίνοι χιτῶνες, οὓς ὁ θεὸς τῷ ἀδὰμ καὶ τῇ εὔᾳ πεποίηκεν :- ἐρωτ.

Οἱ μὲν φασὶν ἐκ φύλλων δένδρων, οἱ δὲ πάλιν τὴν σάρκα ἡμετέραν τούτους τοὺς χιτῶνας εἶναι εἰρήκασιν. ἔδοξε δ' ἑτέροις τοῖς καὶ ἀληθεστέροις, ἐν ἀληθείᾳ χιτῶνας δερματίνους τούτους ὑπάρχειν :- ἀποκ.

Τίνος οὔπω πώποτε ἀποθανόντος, πόθεν ἔμαθεν ὁ κάϊν φονεῦσαι τὸν ἴδιον αὐτοῦ ἀδελφὸν τὸν ἄβελ :- ἐρωτ.

Ὁ διάβολος αὐτῷ καθ' ὄναρ ὑπέδειξε ποίῳ τρόπῳ θανατῶσαι τὸν ἀδελφόν :- ἀποκ.

Τίνες ἦσαν οἱ υἱοὶ τοῦ θεοῦ οἱ ἰδόντες καὶ λαβόντες τὰς θυγατέρας τῶν ἀνθρώπων :- ἐρωτ.

Υἱοὶ σήθ. ἐπεὶ ἀσώματος φύσις οὔτε σωμάτων ἐρᾷ, οὔτε γυναιξὶ συμπλέκεσθαι δύναται :- ἀποκ.

Διατί ἐν βάτῳ ὤφθη ὁ θεὸς τῷ μωϋσῇ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ :- ἐρωτ.

Οἱ μὲν φασίν, ἵνα μὴ δυνηθῶσιν οἱ ἑβραῖοι εἴδωλα ποιῆσαι ἐκ τοῦ ξύλου αὐτῆς. ἄλλοις δὲ δοκεῖ ὅτι προδιαγράφων ὁ θεός, ὅτι μέλλει ἐν τῇ ἀκανθώδει ἡμῶν σαρκοῦσθαι φύσει. τὸ τυχεῖν ἐν τῷ τοιούτῳ φυτῷ ὤφθη τῷ μωϋσῇ :- ἀποκ.

Διατί ἐν τῷ σινᾶ ὄρει ὁ θεὸς τὸν νόμον ἔδωκεν :- ἐρωτ.

ἀποκρ. Ἐπειδὴ σκοτεινῶς καὶ συγκεκαλυμμένως ἐν αὐτῷ ἐκεκρύπτο, τὸ οἰκονομίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν τὸ μυστήριον:

ἐρωτ. Τίνος χάριν αἱ δύο πλάκες αἱ πρῶται συνετρίβησαν:

ἀποκρ. Σημαίνοντος τοῦ θεοῦ τὴν τοῦ πρώτου νόμου παλαίωσιν καὶ διάβασιν:

ἐρωτ. Ἀσωμάτου καὶ ἀσχηματίστου ὄντος τοῦ θεοῦ τότε, ποῖα λοιπὸν ἐπιδιαιτώμενος ὑπῆρχε:

ἀποκρ. Προαιώνιον καὶ ἐμπροσθίδιον πάντων τῶν κτισμάτων πιστεύομεν εἶναι τὸν τῶν ὅλων θεὸν ἄκτιστον· ὅθεν πρόδηλον ὅτι τὰ ὑπὸ τοῦ θεοῦ, τὰ κτίσματα εἰσὶ καὶ οἱ λόγοι αὐτοῦ, οὓς ἰδίως ἐξέθετο, τὸ ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν:

ἐρωτ. Τίς πρῶτος προετύπωσεν ἐν τῇ παλαιᾷ τοὺς δύο λαούς, τὸν ἐξ ἰουδαίων καὶ ἐξ ἐθνῶν:

ἀποκρ. Εὔδηλον ὅτι ῥεβέκκα ἡ γυνὴ τοῦ ἰσαάκ, διδύμους γεννήσασα τὸν ἰακὼβ καὶ τὸν ἡσαῦ, πλὴν καὶ αἱ δύο πλάκες τοῦ νόμου τῶν δύο λαῶν ὑπῆρχον σύμβολον:

ἐρωτ. Τίς ἐν τῇ παλαιᾷ προετύπωσε πρῶτον τὸν τύπον τοῦ θείου καὶ ζωοποιοῦ σταυροῦ:

ἀποκρ. Ὁ ἰακὼβ εὐλογῶν τοὺς δύο υἱοὺς τοῦ ἰωσὴφ ἐναλλάξας τὰς ἑαυτοῦ χεῖρας:

ἐρωτ. Τίνα λέγουσιν ἐν τῇ παλαιᾷ ἐν νεκροῖς πρῶτον λογισθῆναι:

ἀποκρ. Πρόδηλον ὅτι τὸν ἰωνᾶν, ὡς γὰρ ἀρχαῖος φέρεται λόγος. οὗτος ἦν ὁ υἱὸς τῆς χήρας, ὃν ἤγειρεν ὁ προφήτης ἠλίας ἐκ νεκρῶν. πάλιν δ᾽ ἐν τῷ κήτει πρὸς αὖθις ἀπέθανε, καὶ εἶτα τὴν τριήμερον αὐτοῦ κοίμησιν:

Ποῦ ἐστιν ἡ θαρσὶς ὅπου ὁ ἰωνᾶς ἔφυγεν: ἐρώτ.

Ἡ θαρσὶς πόλις ἐστὶ χώρας τῆς ἰνδικῆς, ὡς ἐν τῇ γ΄ τῶν βασιλειῶν μανθάνομεν: ἀποκρ.

Ἆρα μέλλει καὶ νῦν ἐπάγονται ἁμαρτίαι πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν; ἐρώτ.

Διὰ μὲν μωϋσέως τοῦτο εἶπεν ὁ θεός, διὰ δ' ἱερεμίου τοῦ προφήτου πάλιν εἴρηκεν, ὅτι οὐκ ἔσται τὸ λοιπὸν οὕτως, ἀλλ' ὅστις φάγῃ τὰς ὄμφακας, αὐτοῦ οἱ ὀδόντες αἱμωδιάσουσιν. ἀκούομεν δὲ πάλιν τοῦ χριστοῦ πρὸς ἰουδαίους λέγοντος, ὅτι ἀμὴν λέγω ὑμῖν· ἐπελεύσονται αἱ ἁμαρτίαι πατέρων ὑμῶν ἐφ' ὑμᾶς, ἀπὸ τοῦ αἵματος ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος ζαχαρίου υἱοῦ βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. ὅθεν στοχάζεσθαι χρή, ὅτι ἐπὶ μὲν τῶν ἀβαπτίστων, ἐπάγονται ἁμαρτίαι πατέρων ἀσεβῶν ἐπὶ υἱοὺς πονηρούς, οὐχὶ ἀγαθούς. ἐπὶ δὲ τῶν πιστῶν, τὸ ἅγιον βάπτισμα καθαίρει ἡμᾶς ἀπὸ πάσης προπατορικῆς ἁμαρτίας: ἀποκρ.

Τινές φασι πολλάκις τελευτᾶν τὰ νήπια διὰ γονέων ἁμαρτίας. ἆρα οὕτως ἐστί; ἐρώτ.

Μὴ γένοιτο τοῦτο εἶναι οὕτως: ἀποκρ.

Ἀλλὰ τίνος χάριν τὰ νήπια τελευτῶσιν. ἔτι δὲ πάλιν ὑπεργηρῶσι. καὶ πόθεν τινὲς μὲν δικαιοπραγοῦντες, γίνονται ὀλιγόβιοι. τινὲς δὲ κακοπραγοῦντες, πολυχρόνιοι τελευτῶσιν. ἄλλοι δ' ἀγαθοί, γίνονται ἄτεκνοι καὶ πένητες· ἔτι δ' ἀσεβεῖς, εὐτεκνοῦσί τε καὶ εὐπραγοῦσιν: ἐρώτ.

ἀπ. κε΄

Πολὺς ὁ περὶ τούτων τῶν τοῦ θεοῦ κειμηλίων λόγος καὶ ἀκατά-
ληπτος· ὅμως ὡς ἐκ τῶν ἁγίων γραφῶν καταλαμβανό-
μενοι λέγομεν, ὅτι παρὰ τὰ τῶν πιστῶν νήπια, οὐκ ἐξ ἁμαρτι-
ῶν, ἀλλὰ πολλάκις πρὸς σωφρονισμὸν τῶν γονέων τελευτῶσι.
δύο ἀγαθὰ ἐν τούτῳ τοῦ θεοῦ πραγματευομένου. ἓν μέν, ὅπως
καθαρὰ ἐκεῖ ἀπελθόντα, σωτηρίας τύχωσιν, ἴσως γὰρ ὅτι πονη-
ρὸν βίον πάνυ ζῆσαι μέλλοντα, οἰκονομικῶς ὁ θεὸς προήρπασ-
εν αὐτά. δεύτερον δέ, ὅπως καὶ οἱ τούτων γονεῖς σωφρονισθῶσι
γνώσωνται· καὶ ἵνα τὰ τοῖς τελευτήσασι τέκνοις μέλλοντα κατὰ
διαθήκας δοθῆναι χρήματα, εἰς πτωχοὺς λοιπὸν δαπανη-
θῶσι, πάντως ὃ καὶ κατ' ἄλλο κειμήλιον ἡμῖν ὑπάρχων ἄθ-
λον. καὶ οὗτος μὲν ὁ περὶ πιστῶν νηπίων λόγος. εὐπραγοῦ-
σι καὶ εὐτεκνοῦσι καὶ εὐθηνοῦσιν ἄνδρες πονηροί. ἴσως τινὰ
μικρὰ ἀγαθὰ ἔργα ποιήσαντες, καὶ ἐνταῦθα τὸν μισθὸν αὐτῶν
ἀπολαμβάνοντες, ὡς ὁ πλούσιος ἐκεῖνος ὁ ἀκούσας, μνή-
σθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, τουτέστιν ἐ-
πληρώθης τὸν μισθὸν τῶν ἀγαθῶν ἔργων ὧν ἔπραξας. δυσ-
πραγοῦσι δὲ εὐλαβεῖς καὶ ὅσιοι ἐνταῦθα, ὅπως διὰ τῆς
θλίψεως καθαρισθέντες ὡς ὁ Λάζαρος τῶν οἰκείων ἁμαρ-
τιῶν, ἐκεῖ λοιπὸν ζωῇ αἰωνίῳ τελείως παρακληθῶσιν. εἰ
γὰρ ὃν ἀγαπᾷ κύριος παιδεύει, τί λοιπὸν θορυβῇ ὁρῶν ἀξίους
ἐν δυσπραγίᾳ, ἀσεβεῖς δὲ ἐν εὐπραγίᾳ ὑπάρχοντας, καὶ
ὡς χοίρους εἰς σφαγὴν τῷ αἰωνίῳ πυρὶ σιτιζομένους.
λοιπὸν οὖν μὴ θορυβοῦ· οὐ γὰρ μέλει τῷ θεῷ τούτων ἴσα
τὰ ἡμέτερα, ἀλλὰ δεῖ πάντως τοὺς σωζομένους, διὰ πολ-

λῶν θλίψεων εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. σκο-
πὸς γὰρ οὗτός ἐστι τοῦ θεοῦ, τὸ πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς
ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. διὸ πρὸς τοῖς μὲν ἁμαρτωλοῖς
πολλάκις μακροὺς χρόνους χαρίζεται, ἀφορμὴν αὐτοῖς
διδοὺς πρὸς μετάνοιαν, ὅπως καὶ ὡς οἱ περὶ τὴν ἑνδεκάτην
ὥραν ἐν βαθυγήρει ἐπιστρέψουσι. τοὺς δ' δικαίους πολλά-
κις ὀλιγοχρονίους ἁρπάζει, ἵνα μὴ ὥς φησιν ὁ Σολομών,
ἢ κακία ἀλλάξει σύνεσιν αὐτῶν, ἢ δόλος ἀπατήσει ψυχὴν
αὐτῶν. τελειωθέντας ἐν ὀλίγῳ, ἐπλήρωσαν χρόνους μα-
κρούς. ἀρεστὴ γὰρ ἦν κυρίῳ ἡ ψυχὴ αὐτῶν :—

Τί οὖν, οὐδεὶς τῶν ἐνταῦθα τὸν βίον ταλαιπωρησάντων, εἰσέρ- ἐρώτ.
χεται ἐκεῖ εἰς τὴν γέενναν; οὐδὲ μὴν πάλιν τῶν εὐημερη-
σάντων ὧδε, εἰσέρχεται ἐκεῖ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; :—

Ναί. οἱ μὲν γὰρ τῶν ἀνθρώπων ἥμαρτον μεγάλα καὶ ἐπαιδεύθησαν ἀποκρ.
ὧδε μικρά, καὶ ὑπόκεινται πάντως κἀκεῖ τιμωρηθῆναι, ὡς
ἐπὶ τῶν ἐν Σοδόμοις εὑρίσκομεν. οἱ δ' πάλιν προσήγαγον τῷ
θεῷ καμάτους πολλούς, μετέσχον δ' ἐνταῦθα εὐημερίας
μικρᾶς, καὶ ἀπόκειται λοιπὸν αὐτοῖς ἡ βασιλεία τῶν οὐ-
ρανῶν, ὡς οἱ περὶ Ἀβραάμ, καὶ Νῶε, καὶ Μελχισεδέκ. ἄλλοι
ἥμαρτον πολλά, καὶ οὐδὲν ἔπαθον ἐνθάδε πονηρόν, ὡς ὁ
πλούσιος ὁ κατὰ τὸν Λάζαρον, διὸ καὶ ὑπόκειται ἐκεῖ τῇ παν-
τοίων χαλεπωτέρᾳ κολάσει. ἕτεροι δ' ἐξῆλθον διὰ τοῦ ἐν ὅλῳ
τῷ χρόνῳ αὐτῶν, ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, πάσης
ἀπολαύσεως ἐπιγείου ἀποταξάμενοι, οἵτινες καὶ μειζόνων
παρὰ θεοῦ δωρεῶν ὑπὲρ πάντας ἀξιοῦνται. ἄλλοι δ' ἥμαρτον

τοῦ θεοῦ μερικῶς καὶ ἐπαιδεύθησαν ἐνταῦθα ἀξίως ὧν ἥμαρτον, ἵνα λυτρωθῶσιν ἐκεῖ τῆς αἰωνίου κολάσεως, ὥσπερ ὁ πτωχὸς λάζαρος. ὥστε διὰ τῶν εἰρημένων ἐμάθομεν, ὅτι οἱ μὲν τῶν ἀνθρώπων κἀκεῖ καὶ ὧδε κολάζονται· οἱ δέ, ὧδε μόνον. ἄλλοι δέ, ὧδε μὲν οὐδαμῶς, ἀλλ' ἐκεῖ· ἴσως τινὲς καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἀποπίπτουσιν· ὧδε μέν, δι' ἀνθρωπαρέσκειαν κακοπαθήσαντες, ἐκεῖ δὲ διὰ τὸ τῶν ἐκεῖ ἀγαθῶν ἐκπεσόντες. δεῖ τοίνυν τοὺς εὐσεβεῖς καὶ συμπαθεῖς ἐπίστασθαι ἀκριβῶς, ὅτι οὐ μόνον ὑπὲρ ὧν ἔπραξαν ἁμαρτημάτων ὑπόκεινται συμπάθειαν εἰς τοὺς δεομένους ἐπιδείξασθαι, ἀλλὰ καὶ ὑπὲρ πάντων τῶν αὐτοῖς δωρηθέντων ἀγαθῶν. οὐ γὰρ δεῖ μετρεῖν τὰ εἰς πτωχοὺς διδόμενα, ἀλλὰ τὰ ὑπὸ θεοῦ ἡμῖν χαριζόμενα, μήπως καὶ ὑπὲρ αὐτῶν τῶν τοῦ θεοῦ δωρεῶν κρίματι φοβερῷ ὑποπέσωμεν. πολλάκις γὰρ καὶ ἀναξίοις καὶ ἁμαρτωλοῖς πλοῦτον ὁ θεὸς χαρίζεται, ἵνα δι' αὐτοῦ· ἐν ἐλεημοσύναις γάρ φησιν ἡ θεία γραφή, ἀποκαθαίρονται ἁμαρτίαι :—

ἐρώτ. Τί θέλομεν λέγειν περὶ τῶν ἐξαίφνης τελευτώντων ἢ κρημνιζομένων, ἢ ὑπὸ ἄλλων τοιούτων θανάτων ἀποθνησκόντων :—

ἀποκρ. Οἱ μὲν ἄδηλα τὰ τοιαῦτα, τῷ θεῷ μόνῳ γνωστά, οὐ δεῖ ἀμφιβάλλειν. ὅμως τοῦ κυρίου λέγοντος. τί γὰρ οἱ δέκα καὶ ὀκτὼ ἐφ' οὓς ὁ πύργος τοῦ σιλωὰμ ἔπεσεν, ἁμαρτωλότεροι ἦσαν παρὰ πάντας τοὺς κατοικοῦντας ἐν ἱερουσαλήμ; οὐχί, λέγω ὑμῖν. μανθάνομεν οὖν ὅτι οὐ πάντες οἱ ἀσεβεῖς ἢ ἄδικοι τυγχάνουσι, πικρῷ θανάτῳ τελευτῶντες ἀποθνήσκουσι. καὶ γὰρ οἱ

παῖδες τοῦ Ἰὼβ δίκαιοι ὄντες, ἐλεεινοῦ ὑπέμειναν θανάτου.
οὐκοῦν δεῖ ἡμᾶς ἐπὶ τούτοις σκανδαλίζεσθαι, ὅτι οἱ μὲν εὐσε-
βεῖς πικροῦ ὑπομένουσι θανάτου, μικροῦ τε ἐλαττώματα ἐκ τῆν
τὸ ἐκ τούτου ἐλυτρώθησαν ἐκ τῆς τοιαύτης πονηρᾶς τελευτῆς, ἵνα
μειζόνων ἀληθῶς τιμῶν ἀξιωθῶσι. λοιπὸν δὲ ὅπως καὶ ἡμεῖς
ὁρῶντες σωφρονισθῶμεν κατὰ τὸ εἰρημένον λόγιον, εἰ ὁ δίκαιος
μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται. ὡσαύ-
τως δὲ καὶ οἱ ἁμαρτωλοὶ τοιούτοις θανάτοις ἀποθνήσκοντες,
πάντως ἐκ τούτου μικροῦ ἐλέους τυγχάνουσιν. ἅμα δὲ πά-
λιν καὶ οἱ ὁρῶντες ὠφέλειαν τινὰ κομίζονται, βλέποντες ἄ-
φνω ἁρπαζόμενον, ὡς οὐκ οἶδε τὸν ἄνθρωπον. εἰ δὲ καὶ νήπια
οὕτως θανατοῦνται, μὴ θαμβηθῇς, αὐτὰ μὲν γὰρ ἐκ τούτου
οὐδὲν προεβλάβησαν, οὔτε δι' οἰκείαν ἁμαρτίαν τοῦτο πε-
πόνθασιν, ἀλλ' ὅπως καὶ οἱ αὐτῶν γονεῖς σωφρονέστεροι
καὶ εὐλαβέστεροι γένωνται, ἐννοούμενοι ὅτι περ διὰ τὰς ἑαυ-
τῶν ἀνομίας οὕτω τὰ ἑαυτῶν τέθνηκε νήπια. ὅμως ἐπὶ
πᾶσι τούτοις δεῖ ἐννοεῖν τὴν τοῦ κυρίου φωνὴν τὴν λέγουσαν,
ὅτι δύο στρουθία ἀσσαρίου πωλεῖται, τὸ ἓν ἐξ αὐτῶν οὐ-
πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.
καὶ ὅτι ἡμῶν τῶν πιστῶν καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι
ἠριθμημέναι εἰσίν:—

Πολλοῖς τῶν ἐπὶ γῆς φοβερὸς ὁ τοῦ κυρίου καθέστηκε λόγος ὁ φά- ἐρώ.
σκων, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς
ἀνθρώποις. καὶ ὃς δ' ἂν εἴποι λόγον κατὰ τοῦ υἱοῦ, ἀφεθήσεται
αὐτῷ. ὃς δ' ἂν εἴποι λόγον κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ

ἀποκε.

ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι:

Διὰ τοῦτο παραινεῖ πᾶσιν ὁ θεῖος ἀπόστολος λέγων, ὅτι τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. πολλὰ γὰρ τῶν θείων γραφῶν ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν, εἰς ἀθέσμους βλασφημίας περιπίπτομεν. οἷόν ἐστι καὶ τὸ προκείμενον ἡμῖν τοῦ κυρίου λόγιον, ὅπερ ἐὰν κατὰ ξηροῦ τὰς λέξεις ἐκλάβωμεν, οὐ μόνον εἰς ἀθεμίτους ἐννοίας παραπίπτομεν, ἀλλὰ καὶ αὐτὸν τὸν κύριον ἐναντιούμενον ἑαυτῷ εὑρίσκομεν. ἐὰν γὰρ ὃς ἂν εἴποι λόγον κατὰ τοῦ υἱοῦ ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ υἱὸς εἶπεν ὁ ἀρνούμενός με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ. καὶ πάλιν ἐὰν πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, πῶς καὶ ὑπὲρ ἀργοῦ λόγου λόγον δώσομεν. πῶς ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. πῶς ὁ ἀπόστολος φησί, μὴ πλανᾶσθε, οὔτε πόρνοι οὔτε μοιχοί, οὔτε μαλακοί, οὐ λοίδοροι, οὐ μέθυσοι βασιλείαν θεοῦ κληρονομήσουσι. καὶ εἰ ταῦτα οὕτως ἔχει, πῶς λοιπὸν εἶπεν ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις. καὶ ἐὰν πάλιν τοῦτο ἀληθές, διατί λοιπὸν ἐγκαλεῖται ὁ ἄθλιος ὠριγένης, τέλος κηρύττων τῆς κολάσεως εἶναι, καὶ συγχώρησιν πάσης ἁμαρτίας γενέσθαι, τοῖς δαίμοσι καὶ τοῖς ἀνθρώποις παρὰ θεοῦ. πάλιν δὲ ἐὰν ἡ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημία οὐκ ἔχει συγχώρησιν εἰ μὴ διὰ μετανοίας, τί μέμφεται ἡ ἐκκλησία ναυάτον ἀποβαλλόμενον

τὴν μετάνοιαν. τὸ δὲ σκοτεινότερον καὶ δυσκατάληπτον ἐκεῖνο ἐστίν, ὅτι ὃς δ' ἂν εἴποι λόγον κατὰ τοῦ υἱοῦ φησίν, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴποι λόγον κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ. ὥστε ἥττων ἐστὶν ὁ υἱὸς παρὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸν πατέρα; καὶ λοιπὸν ἀποβαλλόμεθα τοὺς μιαροὺς ἀρειανούς, τοὺς σμικρύνοντας καὶ καταβιβάζοντας τὸν υἱὸν παρὰ τὸ πνεῦμα. καὶ πῶς ὁ υἱὸς λέγει, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα. καὶ πάλιν ἐνταῦθα φησίν, ὅτι ὃς δ' ἂν εἴποι κατὰ τοῦ υἱοῦ, ἀφεθήσεται αὐτῷ. ἄρα οὖν εἰπέ μοι συνεχωρήθη ἡ εἰς τὸν λόγον βλασφημία ἀρειανοῖς καὶ σαβελλιανοῖς, καὶ τοῖς λοιποῖς ἅπασι τοῖς εἰς τὴν τοῦ υἱοῦ σάρκωσιν βλασφημήσασιν; ἄπαγε τῆς ἀτοπίας. εἰ γὰρ ὁ λέγων τὸν ἀδελφὸν αὐτοῦ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. εἰς ποίαν λοιπὸν εἰπέ μοι γέενναν γεέννης βληθήσεται ὁ λέγων τὸν θεὸν αὐτοῦ κτίσμα, καὶ οὐχὶ θεοῦ υἱόν, ἀλλὰ δοῦλον καὶ ὑπουργὸν καὶ μικρόν. καὶ εἰ ὅστις εἴποι λόγον κατὰ τοῦ υἱοῦ ἀφεθήσεται αὐτῷ, πῶς αὐτὸς ὁ υἱὸς εἶπεν ὅτι ὁ μὴ τρώγων μου τὴν σάρκα καὶ μὴ πίνων μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν αἰώνιον. πῶς δὲ καὶ δύναταί τις ἀτιμάζων τὸν υἱόν, τιμᾶν τὸ πνεῦμα τὸ ἅγιον. ὁ γὰρ ἀτιμάζων τὸν υἱόν, ἀπαρνεῖται τὸ ἅγιον βάπτισμα. ὁ δὲ τὸ ἅγιον βάπτισμα ἀπαρνούμενος, δηλονότι τὸ πνεῦμα τὸ ἅγιον ἀποδιώκει. καὶ ὥσπερ ἐπὶ τοῦ αἰσθητοῦ ἡλίου, ἐὰν τὴν θέρμην ἢ τὴν ἀκτῖνα αὐτοῦ καθυβρίσεις, εἰς ὅλην τὴν φύσιν τοῦ ἡλίου ὕβρεις ἀναφέρεις, οὕτω καὶ ἐπὶ τοῦ νοητοῦ ἡλίου τῆς ἁγίας τριάδος φῶς τὸ μὲν

παράδειγμα ξένον, ἤτοι παράδοξον:

στηρίου, ἢ τῆς μιᾶς ὑποστάσεως ἀγνοία, παντὸς τοῦ πληρώματος τῆς θεότητος ἐστὶ βλασφημία. τοῦτο ἐστὶ τὸ ὑπὸ τοῦ κυρίου πρὸς Ἰουδαίους λεγόμενον, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις. καὶ ὃς δ' ἂν εἴποι λόγον κατὰ τοῦ υἱοῦ, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴποι κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι· νουνεχῶς ἀκούσωμεν ἵνα μὴ πλανηθῶμεν. διττοῦ εἶναι τοῦ χριστοῦ μετὰ τὴν ἄφραστον ἕνωσιν, φημὶ δὴ ἐκ θεότητος καὶ ἀνθρωπότητος, αἱ ἱεραὶ ἡμῶν διαβοῶσι γραφαί. ὁ γὰρ λόγος σὰρξ ἐγένετο. τὴν μὲν τοῦ λόγου θεότητα, ὁ αὐτὸς χριστὸς πνεῦμα ἅγιον ὀνομάζει, καθὰ καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγεν, ὅτι πνεῦμα ὁ θεός. τὴν δ' ἀνθρωπότητα αὐτοῦ, υἱὸν ἀνθρώπου. καθὼς πάλιν ἀλλαχοῦ περὶ τῆς ἰδίας αὐτοῦ σαρκὸς φησί, νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου. οἱ οὖν ἀεὶ τῷ θεῷ προσκρούοντες Ἰουδαῖοι καὶ βλασφημοῦντες, διττὴν πρὸς τὸν χριστὸν τὴν βλασφημίαν ἐκέκτηντο. οἱ μὲν τῇ σαρκὶ αὐτοῦ, ἤγουν τῷ υἱῷ τοῦ ἀνθρώπου προσκόπτοντες, προφήτην αὐτὸν ἀλλ' οὐ θεὸν εἶναι ἐνόμιζον, οἷς καὶ συγγνώμην ἔδωκεν, ἀρχὴ γὰρ ἦν τοῦ κηρύγματος. καὶ οὔπω ἐχώρει ὁ κόσμος θεὸν πιστεύειν φαινόμενον ἄνθρωπον, διὸ καὶ φησὶν ὁ χριστός. ὅτι ὃς ἂν εἴποι λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἤγουν τοῦ σώματος αὐτοῦ, ἀφεθήσεται αὐτῷ. τολμῶ γὰρ λέγειν ὅτι οὐδὲ αὐτοὶ οἱ μακάριοι αὐτοῦ μαθηταὶ τέλειον περὶ τῆς αὐτοῦ θεότητος εἶχον φρόνημα, ἕως τὸ πνεῦμα τὸ ἅγιον αὐτοῖς τῇ πεντηκοστῇ ἐφοίτησεν. ἐπεὶ καὶ μετὰ τὴν ἀνάστασιν ἰδόντες αὐτὸν καὶ προσκυνήσαντες ἐδίσταζον, ἀλλ' οὐκ ἐκ τούτου

καὶ κατεκρίθησαν. οἱ δὲ εἰς τὸ πνεῦμα τὸ ἅγιον ἤγουν εἰς τὴν τοῦ χριστοῦ θεότητα βλασφημοῦντες καὶ λέγοντες, ὅτι ἐν βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια, τούτοις φησὶν ὅτι οὐκ ἀφεθήσεται οὐδὲ ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι. πλὴν σημειώσατε ἀκριβῶς, ὅτι οὐκ εἶπεν ὅτι τοῖς βλασφημήσασι καὶ μετανοήσασιν οὐκ ἀφεθήσεται, ἀλλὰ τοῖς βλασφημήσασιν, ἤγουν τοῖς ἐπιμένουσιν ἐν τῇ βλασφημίᾳ, ἐπειδήπερ οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος παρὰ θεῷ, ἐν τοῖς γνησίως καὶ κατ' ἀξίαν μετανοοῦσιν:

Τίνι οὖν, ἔχει ἄφεσιν διὰ μετανοίας ὁ τὸν χριστὸν ἀρνησάμενος καὶ βλασφημήσας εἰς τὸ πνεῦμα τὸ ἅγιον; : ἐρώ(τησις).

Τρία βαπτίσματα καθαρτικὰ πάσης οἵας δήποτε ἁμαρτίας ὁ θεὸς τῇ φύσει τῶν ἀνθρώπων ἐδωρήσατο, λέγω δὴ τὸ δι' ὕδατος καὶ διὰ μαρτυρίου, ἤγουν τοῦ ἰδίου ἡμῶν αἵματος. τὸ τρίτον τὸ διὰ δακρύων, εἰς ὅπερ καὶ ἡ πόρνη ἐκαθαρίσθη. πλὴν δὲ καὶ αὐτὸς ὁ κορυφαῖος τῶν ἀποστόλων πέτρος μετὰ τὴν ἄρνησιν κλαύσας, προσεδέχθη καὶ ἐσώθη. ἐὰν δὲ ἡ τοῦ χριστοῦ ἄρνησις ἔσχε συγχώρησιν, ἡ δὲ τοῦ ἁγίου πνεύματος οὐκ ἔχει, εὑρίσκεται λοιπὸν ὁ υἱὸς ἐλάττων τοῦ ἁγίου πνεύματος. ἄκουε δὲ καὶ ἑτέρας μαρτυρίας τῆς πίστεως, μὴ εἶναι τὴν οἵαν δήποτε ἁμαρτίαν νικῶσαν νικῶσαν τὴν τοῦ θεοῦ φιλανθρωπίαν, λέγει οὖν ὁ θεὸς διὰ τοῦ προφήτου ἰεζεκιὴλ οὕτως. ζῶ ἐγώ λέγει κύριος. ὅτι ἐὰν ποιήσει ἄνομος πάσας τὰς ἁμαρτίας καὶ εὕρω αὐτὸν ἐν τῇ δικαιοσύνῃ, οὐ μὴ μνησθῶ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. εὕρω δὲ αὐτὸν εἶπε, περὶ ἀπο.

δηλονότι τὴν ἡμέραν τοῦ θανάτου αὐτοῦ. δεῖ γὰρ εἰδέναι, ὅτι ὁμοίως τοῦ βαπτίσματος ἡ τῶν δακρύων πηγὴ καθαρίζει τὸν ἄνθρωπον, διότι πολλοὶ διὰ πταισμάτων μολύναντες ἑαυτοὺς μετὰ τὸ ἅγιον βάπτισμα, διὰ δακρύων ἐκαθαρίσθησαν, καὶ δίκαιοι ἐδείχθησαν:

ἐρώτ. Ποία ἁμαρτία ποιεῖ τὴν προσευχὴν τοῦ ἀνθρώπου ἀπρόσδεκτον:

ἀπόκρ. Ἡ μνησικακία κατὰ τὸν λόγον τοῦ Κυρίου τὸν λέγοντα, ὅτι ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθεὶς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου, ὡς τῆς μνησικακίας δηλονότι ποιούσης ἀπρόσδεκτον τὸ δῶρον τῆς προσευχῆς:

ἐρώτ. Ποία ἁμαρτία οὐ δύναται οὐ δύναται μετανοῆσαι τῷ Θεῷ:

ἀπόκρ. Πρόδηλον ὅτι ἡ ἀπόγνωσις, ὑφ' ἧς καταπεισθεὶς ὁ Ἰούδας ἀπήγξατο:

ἐρώτ. Ποία ἁμαρτία ἐστὶ βαρυτέρα πάντων:

ἀπόκρ. Ἐὰν ὡς φησὶν ὁ ἀπόστολος μείζων πάντων τῶν ἀρετῶν ἡ ἀγάπη, πρόδηλον ὅτι μείζων πάντων τῶν κακῶν ἡ μισαδελφία, καὶ ἡ ἀσπλαγχνία, καὶ ἡ ἀνελεημοσύνη:

ἐρώτ. Ποία τῶν ἐντολῶν συγχωρεῖ τῷ ἀνθρώπῳ πάσας τὰς ἁμαρτίας:

ἀπόκρ. Τοῦ Κυρίου λέγοντος, μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε. καὶ πάλιν ἄφες ἡμῖν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. πρόδηλον ὅτι καὶ τὸ μὴ κρῖναι τὸν πλησίον, συγχωρεῖ τὰς ἁμαρτίας. ὡσαύτως καὶ τὸ μὴ μνησικακῆσαι ἀνθρώπῳ. ἄφετε

γάρ, καὶ ἀφεθήσεται ὑμῖν. ἐν ᾧ γὰρ μέτρῳ μετρεῖτε, ἀντι-
μετρηθήσεται ὑμῖν :—

Ἐὰν τις ποιήσῃ βαρύτατον ἁμάρτημα καὶ μετανοήσει, πόθεν   ἐρώτ.
ὀφείλει μαθεῖν εἰ συνεχωρήθη αὐτῷ ὑπὸ θεοῦ, ἢ οὔ :—
οὐ τὸ μὲν ὀλίγοις τῶν ἀνθρώπων ἐπὶ γῆς κατάδηλον γίνεται. ὁ-   ἀπόκ.
μοίως ὥσπερ δεσπότης καὶ δοῦλος, οὕτως ὑπάρχει τὸ συνει-
δὸς τοῦ ἀνθρώπου καὶ ὁ θεός. ὥσπερ οὖν ὁ δοῦλος ὁ πταίσας ἐπιγι-
νώσκει ἐκ τῶν σχημάτων καὶ ῥημάτων τοῦ δεσπότου αὐτοῦ,
ὅτι οὐκ ἔστι πρὸς αὐτὸν εὐμενὴς ὡς ἦν πρὸ τοῦ πταίσματος,
οὕτως καὶ ὁ ἄνθρωπος ἁμαρτάνων, ἀπόλλυ τὴν παρρησίαν ἣν
εἶχε τὸ συνειδὸς αὐτοῦ πρὸς τὸν θεὸν ἐν τῇ εὐχῇ αὐτοῦ. μετα-
νοοῦντος οὖν τοῦ ἀνθρώπου, καταξίαν πάλιν χαρίζεται αὐτῷ
ὁ θεὸς τὴν παρρησίαν ἣν εἶχε πρὸ τοῦ πταίσματος, καὶ ἐντεῦθεν
γινώσκει ὁ ἄνθρωπος ὅτι συνεχώρησεν αὐτῷ ὁ θεὸς τὰ ἁμαρτήματα :—

Ἐὰν τις ποιήσῃ ἁμαρτίαν μεγάλην, εἶτα κατανυγῶ ἑαυτὸν   ἐρώτ.
ἄρξηται μετανοεῖν, μετὰ τρεῖς ἡμέρας ἀποθάνει, τί χρὴ
νομίζειν περὶ αὐτοῦ :—

Ἐὰν ἀρξάμενος τῆς μετανοίας συνέστειλε τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ   ἀπόκ.
τῶν πονηρῶν βουλῶν, καὶ ἔθετο πρὸς τὸ τοῦ θεοῦ συνταγάς, ὅτι οὐ-
κέτι παρέρχεται διὰ τῶν προτέρων ἁμαρτιῶν ὧν ἔπραξεν,
καὶ ἐπὶ τὴν αὔριον τελευτήσει, ἐδέξατο ὁ θεὸς τὴν μετάνοιαν
αὐτοῦ ὡς τὴν τοῦ λῃστοῦ. τὸ μὲν γὰρ ἄρξασθαι τῆς μετανοίας,
ἐν τῷ ἀνθρώπῳ ἐστί. τὸ δὲ ζῆσαι ἢ τελευτῆσαι, ἐν τῷ θεῷ. πολλούς
γὰρ ἀρξαμένους μετανοεῖν, εὐθέως ἁρπάζει ὁ θεός, ὡς ἀ-
γαθὸς πρὸς τὸ συμφέρον προγινώσκων, ὅτι ἐὰν πολυχρονή-

τοσι, πάλιν πίπτουσι καὶ ἀπόλλυνται :–

Ἐρώτ. Πῶς τινὲς ἐκ ψιλῆς καὶ μόνης προφάσεως πλῆθος δακρύων καταφέρουσιν, ἕτεροι δ' ἐὰν μυρίαις συμφοραῖς καὶ θλίψεσιν, ἢ καὶ ἄλλους περιπεσόντας θεάσωνται, δακρύσαι οὐ δύνανται :–

Ἀπόκρ. Εἰσὶ μὲν καὶ κράσεις τινὲς αὗται ψυχῶν τε καὶ σωμάτων ἐκ φύσεως τὸ δάκρυον ἔχουσαι· οἱ μὲν γὰρ θερμῆς καὶ ἁπαλῆς οὖσαι ἕξεως, εὐθέως δακρύουσι συμπαθῶς· οἷον λέγω, καὶ ἐπὶ παντὸς σχεδὸν τῶν γυναικῶν ὁρῶμεν γινόμενον· οἱ δ' πάλιν καὶ σκληρίας γνώμης καὶ ξηρότητος φύσεως, καὶ ὑπερηφάνου καρδίας, δακρύσαι οὐ δύνανται. ταῦτα φαμὲν ἐπὶ τῶν ἐν μέσῳ κόσμου διαγόντων· οἱ γὰρ τὸν μονήρη βίον μετερχόμενοι, πολλάκις καὶ ἐκ θείας χάριτος τὸ δῶρον τῶν δακρύων κομίζονται. πλὴν πολλή τις ἐν τοῖς δακρύοις διαφορὰ καθέστηκε. τινὲς γὰρ πολλάκις καὶ ἀπὸ μέθης οἴνου δακρύουσι, τινὲς δὲ καὶ δόξαν ἀνθρώπων θηρώμενοι, διόπερ ἐκεῖνο ἀγαθὸν καθέστηκε δάκρυον, τὸ κρυπτῶς θεῷ προσαγόμενον, ὥσπερ καὶ ἐπὶ τῆς ἐλεημοσύνης παρακελευόμεθα :–

Ἐρώτ. Ἐάν τις ὑπὸ πτωχῶν αἰτούμενος ἐν ὁδῷ ἑτέρων ἀνθρώπων ὁρώντων καὶ παρόντων, τί χρὴ ποιεῖν· εἰ οὐ δυνατὸν κρυπτῶς τὴν ἐλεημοσύνην ποιεῖν, ἢ μὴ διδόναι :–

Ἀπόκρ. Τὸν λογισμὸν τοῦ δόντος κρίνει ὁ θεός. ἐὰν οὖν ἐνώπιον μὲν ἑτέρων διὰ θεὸν καὶ οὐ δι' ἀνθρωπαρέσκειαν ποιήσῃ, οὐ κατακρίνεται :–

Ἐρώτ. Πόθεν ποτὲ μὲν ἀγαθὴ γίνεται ἡ ψυχὴ πρὸς συμπάθειαν, ποτὲ δ' πάλιν σκληρά τε καὶ ἄσπλαγχνος :–

Μόνην ἄτρεπτον καὶ ἀεὶ ὡσαύτως μένουσαν, τὴν θείαν φύσιν γινώσκομεν. ἐπεὶ καὶ ἐξ ἀγγέλων τινὲς ἐτράπησαν, διὸ οὕτω χρὴ λοιπὸν ἐπὶ τῆς τρεπτῆς φύσεως τῶν ἀνθρώπων νοεῖν, ὅτε ποτὲ μὲν ἀγαθὴ γίνεται ἢ κατ᾽ εἰκόνα θεοῦ ὑπάρχουσα ψυχή, ποτὲ δὲ ὁπλιζομένη ὡς πολεμουμένη ὑπὸ τοῦ ἐχθροῦ, καὶ προκειμένη τοῖς τοῦ βίου πάθεσι. πλὴν ἐὰν ὁ ἄνθρωπος ἑαυτὸν πρὸς τὴν συμπάθειαν βιάζηται, τοῦ πάντως ποιῆσαι τὸ ἀγαθόν, προκόπτει λοιπὸν ἡ ἀγαθὴ συνήθεια εἰς τὸ πάντοτε προθύμως διαδιδόναι :— ἀπο.

Τοῦ ἀποστόλου λέγοντος, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. οὐ χρὴ λοιπὸν ἐκβιάζεσθαι τὸν λογισμὸν ἑαυτοῦ τὸν ἄνθρωπον καὶ ποιῆσαι ἐλεημοσύνην :— ἐρω.

Τῶν τελείων ἐστί, τό, πάντοτε ἱλαρῶς ποιεῖν τὸ ἀγαθόν. καὶ οἱ βιαζόμενοι δὲ ἑαυτοὺς εἰς τὴν τοῦ πτωχοῦ ἔκθλιψιν, ὡς προσδεκτοί εἰσι παρὰ θεῷ διὰ τοῦτο, βιασταὶ ἁρπάζουσι τὴν βασιλείαν τῶν οὐρανῶν :— ἀπο.

Ἐάν τις περὶ τῶν ἑαυτοῦ ἁμαρτημάτων μετανοήσῃ, πρόδηλον ὅτι ἐξαλείφει τὰς ἁμαρτίας αὐτοῦ. ἄρα λοιπὸν καὶ ἐάν τις ποιήσει εὐποιίαν καὶ μεταμεληθῇ, ἐξαλείφει τὸν μισθὸν οὗ ἐποίησε διὰ τὴν μεταμέλειαν ; :— ἐρω.

Μὴ γένοιτο. ὥσπερ γὰρ ἐπὶ τῆς μετανοίας τῶν ἁμαρτιῶν ὁ θεός ἐστιν ὁ ταύτης πρόξενος, οὕτως ἐπὶ τῆς μεταμελείας τῆς περὶ τὴν ἐλεημοσύνην, ὁ διάβολος ἐστὶ ποιητὴς αὐτῆς, καὶ οὐχ ἡ τοῦ ἀνθρώπου ψυχή, διὸ οὐδὲ ἀναλύεται ὁ γινόμενος μισθός. ὅμως οὐ καλὸν τὸ μεταγινώσκειν ἐπ᾽ ἀγαθῷ γινο- ἀπο.

μένω. ὁ γὰρ συχνῶς μεταμελούμενος, οὐκ ἔστι τέλειος πρὸς τὸ ἀγαθὸν γίνεται :–

ἐρώτ. Τινές φασιν, ὅτι οὐ δεῖ ἀνεξετάστως παρέχειν ἐλεημοσύνην, ἀλλ' ἐρωτᾶν μετὰ ἀκριβείας, ἐὰν ἐν ἀληθείᾳ ἐνδεής ἐστιν ὁ ἡμῖν προσερχόμενος. λέγει γὰρ φησὶν ὁ Σολομὼν ὅτι ἐὰν ποιεῖς ἀγαθόν, βλέπε τίνι ποιεῖς :–

ἀπόκ. Οὕτως καὶ τὰς λοιπὰς γραφὰς οἱ κακῶς νοοῦντες διαστρέφουσι. οὐ γὰρ περὶ τοῦ αἰτοῦ τοῦ πτωχοῦ τοῦτο εἶπεν ὁ Σολομών, ἀλλὰ βλέπε φησὶ τίνι ποιεῖς, τουτέστιν ὅτι τῷ θεῷ ποιεῖς. εἰ γὰρ περὶ τοῦ ἀνακρίνειν τοὺς αἰτοῦντας τοῦτό φησι, πῶς ὁ κύριος λέγει παντὶ τῷ αἰτοῦντί σε δίδου :–

ἐρώτ. Ἆρα τὸ ἐν ἐκκλησίαις προσφέρειν ὑπάρχει παρὰ θεῷ τιμιώτερον, ἢ τὸ τοῖς δεομένοις διανέμειν; :–

ἀπόκ. Τῷ εἰπεῖν τὸν κύριον τοῖς ἐκ δεξιῶν, ὅτι ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν, ἔδειξε πολυτελεστέραν εἶναι τὴν εἰς τοὺς κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ κτισθέντας ναοὺς συμπάθειαν. πλὴν πολλάκις ἐν καιρῷ διωγμοῦ μέλλοντος ναοῦ ἀπόλλυσθαι, ἀναγκαία καὶ ἡ τούτου συμπάθεια. καὶ πάλιν διὰ τὴν πίστιν βασανιζομένων, τιμιωτέρα πάντων ἡ τούτων ἀνάρρυσις :– (ἰ. λινῶν)

ἐρώτ. Ἐάν τις πιστὸς παρὰ ἀπίστων χρήματα πιστευθεὶς τούτων παράψηται, ἆρα εὐσυγγνώστως παρὰ θεῷ εἰς τοῦτο καθέστηκε; :–

ἀπόκ. Τοῦ κυρίου λέγοντος ἀπόδοτε τὰ καίσαρος καίσαρι, δηλονότι ἕλληνος τούτου ὑπάρχοντος, μανθάνομεν ὅτι οὐκ ἐπαινετὸν τὸ τοιοῦτο γίνεσθαι. ὅμως ἐὰν εἰς τοὺς πένητας ταῦτα

ἀναλυθῶσι χρήματα, δύνανται αἱ τῶν πενήτων εὐχαὶ τὸν
θεὸν ἐξευμενίσασθαι τὸν εἰπόντα, ποιήσατε ὑμῖν φίλους ἐκ
τοῦ μαμωνᾶ τῆς ἀδικίας. εἰ δὲ εἰς ἡδονάς τινας βιωτικὰς
δαπανηθῶσιν, εὔδηλον ὅτι δυσὶ κρίμασιν οἱ τοιοῦτοι
ὑποπίπτουσι, λέγω δὴ ἡδονῆς καὶ κλοπῆς:

Ἰσχύει ἡ ἐλεημοσύνη πᾶσαν ἁμαρτίαν ἐξαλεῖψαι αὐτοῦ, ἢ οὔ:

Ἔστιν ἁμαρτία καὶ ἁμαρτία, καὶ ἔστιν ἐλεημοσύνη καὶ ἐλεημοσύνη.
οἷον λέγω, ἐὰν μνησικακίαν κατέχωμεν πρὸς τὸν πλησίον,
πρόδηλον ὅτι μηδεμίᾳ ἐλεημοσύνῃ οὐ συγχωρεῖ ὁ θεὸς ἡμῖν,
ἐὰν μὴ ἀφῶμεν καὶ ἡμεῖς τῷ ἀδελφῷ ἡμῶν τὰ ὀφειλή-
ματα αὐτοῦ κατὰ τὸν τοῦ κυρίου λόγον. πάλιν δὲ ἄλλο ἐστὶ κατα-
παυόμενον πορνείας ποιεῖν ἐλεημοσύνην, καὶ ἕτερον ἐστὶ τὸν
ἱστάμενον ἐν τῇ ἁμαρτίᾳ, οὕτω παρέχειν τὴν ἐλεημοσύνην
τοῖς πένησι. καὶ ἄλλος πάλιν μισθὸς τοῦ διὰ πόνου τοῦ ἐξ
ἰδίου ἱδρῶτος ποιοῦντος συμπάθειαν, καὶ ἕτερος τοῦ ἁρ-
πάζοντος, τοῦ ἀπὸ δώρων καὶ προσόδων παρέχοντος. πρὸς
τούτοις ἄλλος ὁ ἐκ τοῦ ὑστερήματος διδούς, καὶ ἄλλος ὁ
ἐκ τοῦ περισσεύματος, καὶ ἕτερος ὁ χρεωστήσας ὁ ἀλλότρια
πιστευόμενος ἐπὶ τὸ διαδοῦναι τοῖς πένησιν. οὐ μόνον δὲ
τοῦτο, ἀλλ' ὅτι ὁ μὲν ἐν μέσῳ τοῦ κόσμου ὑπάρχων, καὶ
ἄλλο διαιτώμενος θεῷ ὑπὲρ τῶν ἑαυτοῦ πλημμελημάτων προσ-
τάται, καθαίρεται δι' ἐλεημοσύνης. ὁ δὲ τὸν μονήρη βίον
ἀσπασάμενος, ἀπαιτεῖται μειζοτέραν τινὰ πολιτείαν ἐνδεί-
ξασθαι. ὅμως εἰ τὸν ναβουχοδονόσορ τὸν τοιοῦτον ἀσεβῆ ὤ-
νησεν ἡ ἐλεημοσύνη δικαιοῦται, μετάλα ὡς ἔδοξε καὶ

δυνατὰ τὰ ἁμαρτήματα δι' ἐλεημοσύνης ἐξαλείφεσθαι· ἄκουσον γὰρ τοῦ ἁγίου Δανιὴλ πρὸς αὐτὸν λέγοντος, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. καὶ πάλιν ἡ θεία γραφὴ λέγει, ἐλεημοσύνη καλύψει ἁμαρτίας μεγάλας. καὶ πάλιν, μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος. τουτέστι τῆς κρίσεως ἡμέρᾳ, πονηρὰ γὰρ ὑπάρχει τοῖς ἁμαρτωλοῖς :-

ἐρώ. Ἐτόλμησάν τινες μακαρίζειν τοὺς τελείους ἐλεήμονας, ὑπὲρ τοὺς ποιοῦντας σημεῖα :-

ἀπόκ. Οὐκ ἀφ' ἑαυτῶν τὴν τοιαύτην ψῆφον εἰρήκασιν, ἀλλὰ πάντως τοῦ κυρίου εἰπόντος ἀκούσαντες· ὅτι ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε· οὐχὶ ἐὰν σημεῖα ποιεῖτε, ἀλλ' ἵνα ἀγαπᾶτε ἀλλήλους. εὔδηλον δὲ ὅτι γνώρισμα τῆς ἀληθοῦς ἀγάπης ἡ ἐλεημοσύνη ἐστί. καὶ γὰρ στήσας ἐκ δεξιῶν ὁ κύριος τοὺς δικαίους, οὐκ εἶπεν ὅτι σημεῖα ποιήσαντες κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ἀλλ' ὅτι πεινῶντά με εἴδετε καὶ ἐθρέψατε, καὶ τὰ ἑξῆς. ὡσαύτως καὶ τοὺς ἐξ εὐωνύμων ἐκπέμπων εἰς τὸ πῦρ τὸ αἰώνιον, τὴν ἀνελεημοσύνην καὶ τὴν ἀσπλαγχνίαν αὐτοῖς ἐνεκάλυψεν. καὶ γὰρ τὸ ποιῆσαι σημεῖα, τῆς τοῦ θεοῦ καὶ μόνης ἐστὶ δυνάμεως. τὸ δ' ἀγάπην καὶ συμπάθειαν εἰς τὸν πλησίον ἐνδείξασθαι, πρόδηλον ὅτι καὶ τῆς τοῦ ἀνθρώπου ἐστὶ προαιρέσεως. ἄκουσον δὲ τελευταίας μαρτυρίας καὶ ψήφου περὶ τῶν τὰ σημεῖα ποιούντων, καὶ πάλιν περὶ τῶν τὰς ἐλεημοσύνας ἐργαζο-

μένων. ἐὰν φησὶν ὁ παῦλος ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστᾶν, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. καὶ πάλιν ὁ κς φησί· γίνεσθε οὐχὶ σημειοφόροι, ἀλλὰ οἰκτίρμονες καὶ ἀγαθοί, ὡς ὁ πὴρ ἡμῶν ὁ ἐν τοῖς οὐνοῖς :-

Πόσον μέρος τῶν ἑαυτοῦ χρημάτων ἀπαιτεῖται ὁ ἄνος, παρὰ θῦ δοῦναι εἰς εὐποιΐαν :- ἐρώ.

Οὐ σκοπεῖ ὁ θς τὰ διδόμενα, ἀλλὰ τὰ ἀποκείμενα παρ' αὐτῷ. λέγοντος οὖν τοῦ ἀποστόλου, ὅτι τὸ ὑμῶν περίσσευμα δοθήτω εἰς τὸ τῶν πτωχῶν ὑστέρημα, εὔδηλον ὅτι ὥσπερ ἀποθέμεθα ὑπὲρ τὴν ἡμετέραν τροφὴν καὶ πόσιν καὶ ἔνδυσιν, κρίμα ὑπὲρ αὐτῶν δώσομεν ἐν ἡμέρᾳ κρίσεως. καὶ τὸ οὖν τὸ κρίμα, οἷον ἀνδροφόνοι παρέχουσιν, διότι περ πολλοὺς ἐκ θανάτου διὰ τῶν ἡμετέρων χρημάτων δυνάμενοι ῥύσασθαι οὐκ ἐρρυσάμεθα, ἀλλ' ὑπερείδομεν :- ἀπόκρ.

Αἱ εἰς πτωχοὺς καταλιμπανόμεναι ὑπὸ τῶν τελευτώντων ἐλεημοσύναι, τελέσονται :- ἐρώ.

Ναὶ καὶ θυσίαι. ὅμως ἐὰν καὶ ἐν τῇ ζωῇ αὐτῶν ἐλεήμονες ἦσαν οἱ τοιοῦτοι, δεκταί εἰσι καὶ ἐν τῷ θανάτῳ αὐτῶν αἱ εὐποιΐαι παρὰ τῷ θεῷ :- ἀπόκρ.

Ἐάν τις ἐν ἁμαρτίαις καταγηράσας μήτε νηστεῦσαι δύναται, μήτε χαμευνῆσαι ἢ ἀγρυπνῆσαι, ἢ ἄλλην τινὰ ἄσκησιν ποιῆσαι, μήτε χρημάτων εὐπορῆσαι πρὸς διάδοσιν, μήτε τοῦ βίου ἰσχύει ἀποτάξασθαι, ποίῳ ἄρα λοιπὸν τρόπῳ ὁ τοιοῦ- ἐρώ.

τὶς σωθῆναι δυνήσεται:

ἀποκρ.

Οἵῳ τρόπῳ ἐσώθη ὁ τελώνης κατὰ τὸν εἰπόντα προφήτην, ἐταπεινώθην καὶ ἔσωσέ με ὁ κύριος. ὥσπερ γὰρ ἡ ἀναίμακτος θυσία καὶ ἡ ἐλεημοσύνη εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν προσφέρονται τῷ θεῷ, οὕτως καὶ ἡ ταπεινοφροσύνη τῆς καρδίας. θυσία γάρ φησι τῷ θεῷ πνεῦμα συντετριμμένον. καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. καὶ πάλιν ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. καὶ πάλιν ὥσπερ μακαρίζονται οἱ ἐλεήμονες, καὶ οἱ καθαροὶ τῇ καρδίᾳ, οὕτως μακαρίζονται πρὸ πάντων οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ταύτην οὖν τὴν ὁδὸν τῆς σωτηρίας, καὶ πένης, καὶ ἀσθενὴς, καὶ γέρων, καὶ ἰδιώτης ὁδεῦσαι καὶ κατορθῶσαι δυνήσεται:

ἐρωτ.

Τί ἐστι ταπεινοφροσύνη:

ἀποκρ.

Ταπεινοφροσύνη ἐστὶ, ψυχὴ μὴ προσέχουσα μηδὲ κρίνουσα τὰ ἄλλων ἀνθρώπων πταίσματα, ἀλλὰ μόνα τὰ ἑαυτῆς βλέπουσα, καὶ ὑπεύθυνον τῆς αἰωνίου κολάσεως ἑαυτὴν ἔχουσα, καὶ τοῦτο μόνον πρὸς θεὸν λέγουσα, σῶσόν με κύριε ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ ἕνεκα τῶν κατορθωμάτων μου. ὁ γὰρ οὕτως ἑαυτὸν ὑπεύθυνον καὶ ἁμαρτωλὸν λογιζόμενος, οὔτε μνησικακήσει ἀνθρώπῳ ποτὲ, οὔτε κατακρινεῖ αὐτὸν ἁμαρτάνοντα, καὶ λοιπὸν ἐκ τριῶν τρόπων τὴν τῶν ἁμαρτιῶν ἄφεσιν κομίζεται. ὡς γὰρ μὴ κατακρίνων οὐ κρίνεται, καὶ ὡς ταπεινοφρονῶν δικαιοῦται, καὶ ὡς συγχωρῶν συγ-

χωρεῖται :–

Ἐάν τις πολλάκις ἁμαρτήσας, πολλάκις μετανοεῖν ἐπελεύσεται, καὶ πάλιν εἰς ἁμαρτίαν ἐνέπεσεν, μέχρι πόσων παραπτωμάτων μετανοοῦντα πάλιν ὁ θεὸς προσδέχεται τοῦτον :– ἐρώ.

Ὁ τὸ εὔτρεπτον τῆς ἀνθρωπίνης φύσεως ἐπιστάμενος κύριος, καὶ μυριάκις ὁ ἄνθρωπος πταίσῃ καὶ μυριάκις μετανοήσῃ, οὐδαμῶς αὐτὸν ἀποβάλλεται· ὁ γὰρ ἐντειλάμενος τῷ Πέτρῳ ἑβδομηκοντάκις ἑπτὰ τῷ ἀδελφῷ συγχωρεῖν, πολλῷ πλέον αὐτὸς συγχωρήσει μυριοντάκις ἑπτὰ τῷ ἀνθρώπῳ μετανοοῦντι. πλὴν μέντοι καὶ τοῦτο δεῖ ἀκριβῶς ἐπίστασθαι, ὅτι ψυχὴ εἰς συνήθειαν ἥκουσα τοῦ πολλάκις ἁμαρτάνειν, καὶ πολλάκις μετανοεῖν καταφρονοῦσα τοῦ θεοῦ, καὶ πρὸς τὴν ἁμαρτίαν ὑποστρέφουσα, δυσχερῶς οὕτως ἡ τοιαύτη ψυχὴ τῆς ἁμαρτίας ἀφίστασθαι, ὥσπερ κύων μακελλικὸς ἐν τῷ βρώματι συνηθίσας. λοιπὸν ἐπειδὴ ὅτε καὶ τὸ τέλος τῆς ζωῆς ἡμῶν ἄδηλον, χρὴ ἡμᾶς ἀσφαλίζεσθαι μήπως ἐν τῇ ἁμαρτίᾳ φθασθῶμεν εὑρεθέντες ἀμετανόητοι, καὶ παραδοθῶμεν εἰς κόλασιν αἰώνιον :– ἀπο.

Πόσαι μοιχεῖαι εἰσίν :– ἐρώ.

Δύο. καὶ γὰρ γυνὴ ὕπανδρος ὅπου καὶ πορνεύσει, μοιχεία ἐστί. καὶ πάλιν ὁ ἀνὴρ γυναῖκα ἔχων, ὅπου δ' ἂν πορνεύσῃ, μοιχεία ἐστὶ τῆς ἰδίας γυναικός :– ἀπο.

Λέγουσί τινες ὅτι συγγνώμην ἔχει ἡ σωματικὴ ἁμαρτία ὑπὲρ πάσας τὰς ἁμαρτίας, ὡς φυσικῆς ὑπαρχούσης τῆς κινήσεως ἐν τῷ ἀνθρώπῳ :– ἐρώ.

Τοὐναντίον ὁ ἀπόστολος βαρυτέραν πασῶν τῶν ἁμαρτιῶν– ἀπο.

αὐτὴν ὀνομάζει λέγων, ὅτι πᾶσα ἁμαρτία ἣν ποιήσει ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν. ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἐπειδὴ ἐξ αὐτῆς τῆς ἰδίας σαρκός, ὥσπερ θυσίαν τινὰ παρέχει τῷ σατανᾷ τὴν ἑαυτοῦ σποράν. πλὴν καὶ τὸ φαγεῖν φυσικόν ἐστι, καὶ ἰδοὺ ὁ θεὸς παραβάντα τὸν ἀδὰμ κατεδίκασεν :—

ἐρώτ. Πόσα κρίματα καὶ ἁμαρτήματα πορνείας εἰσί :—

ἀπόκρ. Πολλὰ καὶ διάφορα. μείζονι γὰρ κρίματι ὑπόκειται ὁ γυναῖκα ἔχων καὶ πορνεύων, παρὰ τὸν μὴ ἔχοντα. καὶ μείζονι ὁ ἀγαθὴν γυναῖκα ἔχων, ὑπὲρ τὸν πονηρὰν ἔχοντα. καὶ μείζονι ὁ ἐν γήρει πορνεύων, ὑπὲρ τὸν ἐν νεότητι. καὶ μείζονι ὁ ἀδιαλείπτως, ὑπὲρ τὸν διὰ χρόνων. καὶ μείζονι ὁ μὴ θερμῆς ὑπάρχων κράσεως ἀλλὰ ψυχρᾶς. ἑαυτὸν δὲ διὰ βρωμάτων θερμαίνων, καὶ εἰς ἡδονὴν προτρεπόμενος. καὶ ἄλλα δὲ πολλά ἐστιν εἰπεῖν καὶ διάφορα περὶ πορνείας περὶ τῶν κριμάτων. ἄλλο γὰρ κρίμα τὸ εἰς μίαν γυναῖκα ἁμαρτάνοντι, ὑπὲρ τὸν εἰς πολλὰς καὶ διαφόρους καταφέροντα, καὶ πολλὰς ψυχὰς μετὰ τῆς ἑαυτοῦ παραδιδόντι καὶ ἀπολλύντι. καὶ ἄλλο πάλιν κρίμα τοῦ μετὰ παρατηρήσεως ἁμαρτάνοντος, παρὰ τὸν ἀναισχύντως ἑαυτὸν τῇ ἁμαρτίᾳ ἐκδιδόντα; καὶ ἕτερον τοῦ σύμβιον ἔχοντος, καὶ εἰς ὕπανδρον πταίοντος, ὅπερ καὶ διπλῆ μοιχεία τῷ ἐργαζομένῳ τὴν ἁμαρτίαν λογίζεται. βαρύτερον δὲ πάλιν τὸ κρίμα, τὸ κανονικῇ γυναικὶ καταπλέκεσθαι, καὶ πάλιν τὸ, ἀδικουμένῃ γυναικὶ βοηθοῦ, καὶ μισθὸν τῆς προστασίας λαμβάνειν τὸ, αὐτῇ πρὸς ἁμαρτί

συντείνεσθαι· οὐ μόνον δὲ, ἀλλὰ γὰρ καὶ τόπων πρὸς ἁμαρτίαν ὄντων κείμενα διατάσσει· πολλοὶ γὰρ ἐν ἐκκλησίᾳ τὴν ἁμαρτίαν ἐργάζονται, τὰ ἐπὶ πλουσίων κείμενα ἀποφεύγονται· πολλάκις γὰρ καὶ φίλων γυναῖκας μολύνουσι· ἔτι ἰουδαϊκὴν ἀγάπην ὑποκρινόμενοι· ἀλλ᾽ ἅπαντα ἀνακεῖσθαι καὶ μετρεῖ καὶ σκοπεῖ ὁ δίκαιος τοῦ θεοῦ ὀφθαλμός, κατὰ τὸ ἄρρητον αὐτοῦ κείμενα τὰ ἀποτεθησαυρισμένα, τὸν ζυγὸν αὐτοῦ τὸν ἀκριβῆ καὶ ἀλλεύασον :—

Πολλῶν δικαίων ἐν τῇ παλαιᾷ δύο γυναῖκας καὶ τρεῖς ἐχόντων, πῶς οὐκ ἐπιτέτραπται δύο γυναῖκας ἔχειν, ἀλλ᾽ οὐδὲ παλλακὴν κτήσασθαι :— ἐρώτ.

Οὐ μόνον τὸ δύο γυναῖκας ἔχειν τοὺς θεοσεβεῖς ὁ Χριστὸς ἀπεκώλυσεν, ἀλλὰ καὶ αὐτῆς ἡμᾶς τῆς μιᾶς γυναικὸς ἀπέχεσθαι προετρέψατο λέγων· ἀμὴν λέγω ὑμῖν, ὅστις οὐ μισεῖ πατέρα καὶ μητέρα καὶ γυναῖκα καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. εἰ δὲ βούλει τὸ μειζότερον ἀκοῦσαι, ἐρρέθη φησὶ τοῖς ἀρχαίοις, οὐ μοιχεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν. ὅτι πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. εἰ οὖν τὴν τοῦ ὀφθαλμοῦ ἐπιθυμίαν μοιχείαν τοῖς πιστοῖς ὁ Χριστὸς λογίζεται, ποίαν λοιπὸν φιλοσοφίαν καὶ πολιτείαν οἱ πιστοὶ παρὰ τοὺς ἐν τῇ παλαιᾷ ἀπαιτούμεθα. εἰ γὰρ ἔξον ἦν τῷ ἀνδρὶ δύο γυναῖκας ἔχειν, πρόδηλον ὅτι καὶ γυναικὶ τρεῖς ἄνδρας. ἄκουε οὖν τοῦ θεοῦ περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς λέγοντος, ὅτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν· καὶ οὐκ εἶπεν ὅτι ἀπόκ.

ἔσονται οἱ τρεῖς εἰς σάρκα μίαν. ὅμως εἰ μία γυνὴ δοθεῖσα
τῷ ἀνδρὶ αὐτῷ τε καὶ τῷ κόσμῳ ἐπεβούλευσε, τί ἔμελλεν
ὁ κόσμος παθεῖν, εἰ ἐποίησεν ὁ θεὸς δύο γυναῖκας ἀπ᾿ ἀρχῆς
λαβεῖν τὸν ἄνδρα. εἰ δὲ ζητεῖς τίνος χάριν οἱ ἀρχαῖοι δύο τε
τρεῖς γυναῖκας εἶχον, μάνθανε ἀκριβῶς, ὅτι πολλὴ ἦν
τότε τοῦ διαβόλου ἡ τυραννίς, καὶ ὁ θεὸς ἐπιδημήσας καθήρ-
γησε, πολλοὺς τῶν δαιμόνων σήμερον ἐξωρίσας. τοὺς μὲν
ἐν τῇ ἀβύσσῳ. τοὺς δὲ ἐν ἐρήμοις καὶ ἀοικήτοις καὶ ἀβά-
τοις τόποις :—

ἐρώτ. **Π**ῶς πολλάκις τὰ μὲν τῶν ἐνυπνίων ἀληθεύουσι :—

ἀποκ. **Τ**οῦτο πολλάκις γίνεται καὶ ἐκ θεοῦ, πολλάκις δὲ καὶ ἐκ τοῦ
συμβεβηκότος. ἔστι δὲ ὅτε καὶ ὡς νοεῖ ἡ ψυχὴ προγινώ-
σκει. τινὰ δὲ καὶ οἱ δαίμονες προδεικνύουσι δι᾿ ἐνυπνίων :—

ἐρώτ. **Τ**ί οὖν, προγνώστης ἐστὶν ὁ διάβολος καὶ οἱ δαίμονες, καὶ
δύνανται εἰπεῖν τὰ μέλλοντα γενέσθαι; :—

ἀποκ. **Π**ρογνώστης καὶ καρδιογνώστης μόνος ὁ θεὸς ὑπάρχει. ἐπεὶ
οὐδὲ αὐτοὶ οἱ ἄγγελοι τὰ ἐγκάρδια ἢ τὰ μέλλοντα ἐπί-
στανται. οἱ δὲ δαίμονες ὅτε προδεικνύειν νομίζουσιν, ἐκ
πανουργίας ταῦτα στοχαζόμενοι λέγουσιν. οἷον τί λέγω,
πολλάκις ὡς πνεύματα ὁρῶσι τοὺς ὄμβρους κατὰ τὴν
Ἰνδίαν πολλοὺς γινομένους, προλαμβάνουσιν ἐν Αἰ-
γύπτῳ, καὶ διὰ φαρμακῶν ἢ ἐνυπνίων ἀνάβασιν μεγά-
λην τοῦ Νείλου ποταμοῦ μαντεύονται. καὶ ἄλλα δέ τινα
τούτοις ὅμοια διαπράττονται, πολλάκις δὲ καὶ ψεύδονται.
καὶ ὁ βουλόμενος τούτους ἐλέγξαι, ὁ Ματθαίω ἐν τῇ ἑαυτοῦ

ψυχῇ ὑπὸ θεοῦ ταῦτα νομίσωμεν διαδοθῆναι εἰς τὴν αὔριον,
καὶ προσκαλεσάμενος τὸν φαρμακὸν ἢ τὸν μάντιν, ἐρωτή-
σαιτο αὐτὸν περὶ οὗ ὡς εἴσει, τὸ πάντως οὐκ εἰδότος αὐτὸν
μηδὲν ἐπιστάμενον εἰπεῖν :—

Ἐπειδή τινες καὶ Ἰουδαῖοι καὶ Ἕλληνες πολλάκις εὐποιΐας
ἐργάζονται, ἆρα διὰ τοῦτο εἰς βασιλείαν οὐρανῶν εἰσέρχονται;
ἢ τί λέγει περὶ αὐτῶν λογίζεσθαι ἡμᾶς :—

Τοῦ κυρίου πρὸς Νικόδημον εἰπόντος· ἀμὴν ἀμὴν λέγω ὑμῖν·
ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ
εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, εὔδηλον ὅτι οὐδεὶς ἀβά-
πτιστος εἰς αὐτὴν εἰσελεύσεται. τὸ δὲ τί λέγει περὶ ἀβαπτί-
στων ἀγαθοποιῶν λογίζεσθαι, ἢ ὅτι διὰ τῶν ἐνταῦθα αὐτῶν γρ. τῆς
εὐημερείας τὸν ἴδιον μισθὸν ἀπολαμβάνουσιν, ἢ ὅτι ἐν
τῷ μέλλοντι αἰῶνι ἐλαφροτέρως κολάζονται παρὰ τοὺς λοι-
ποὺς ἀπίστους, τοὺς μηδὲν ἀγαθὸν ποιήσαντας. εἰ δὲ καὶ
γέγραπται· δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομέ-
νῳ τὸ ἀγαθὸν Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι, μὴ θαυμάσῃς.
περὶ γὰρ τῶν πρὸ τῆς Χριστοῦ παρουσίας ταῦτα εἴρηκεν ὁ ἀπό-
στολος :—

Ἆρα ἔχει τέλος ἡ κόλασις τῶν ἁμαρτωλῶν, ἢ οὔ; :— ἐρω.

Τοῦ κυρίου λέγοντος περὶ τῶν ἐν τῇ γεέννῃ, ὅτι ὁ σκώληξ αὐτῶν ἀπο.
οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· καὶ πάλιν τοῦ ἀ-
ποστόλου λέγοντος· μὴ πλανᾶσθε, οὔτε μοιχοί, οὔτε πόρνοι,
οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὐ μέθυσοι, οὐ λοίδοροι,
οὐχ ἅρπαγες βασιλείαν θεοῦ κληρονομήσουσιν, εὔδηλον

ὅτι αἰώνιος καὶ ἡ τῶν δικαίων ἀπόλαυσις, καὶ ἡ τῶν ἁμαρτω-
λῶν ὑπάρχει κόλασις. καὶ πάλιν δὲ φησὶν ὁ κύριος περὶ τοῦ ἰού-
δα, ὅτι καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. εἰ
δὲ τέλος ἔχει ἡ κόλασις, συμφέρει ὅτι ἐγεννήθη καὶ ὁ ἰούδας,
ἐὰν δὲ ἔμποτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν μέλλει ἀποκατα-
σταθῆναι μετὰ τὴν κόλασιν, ὡς οἱ αἱρετικοὶ πλανώμενοι δογ-
ματίζουσι :-

ἐρώτ.

Πόθεν γίνονται θανατικά. καὶ διατί ἐν τοῖς χώραις ἐρημικαῖς
ἐθνῶν πολλάκις οὐ γίνονται, ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον ἐν ταῖς
οἰκουμέναις πολυόχλοις πόλεσι καὶ πολυκώμοις :-

ἀποκ.

Βαθεῖα οὐδὲς ἡ τοῦ ἐρωτήματος ἀπόκρισις, καὶ ὀλίγοις τῶν
ἐπὶ γῆς χωρητή. ὅμως καθὼς φησὶν ὁ κύριος, ὁ χωρῶν χωρείτω.
ἐὰν γὰρ εἴπωμεν ὅτι πολλάκις καὶ ἐξ ἀέρων φθοροποιῶν
καὶ κονιορτῶν, καὶ δυσωδίας θνησιμαίων, καὶ ὄμβρων θε-
ρινῶν καὶ ἀναθυμιάσεων, καὶ ἀπὸ φορῶν γῆς καὶ θαλάσ-
σης νοσημάτων καὶ φθορὰ καὶ θανατικὰ γίνονται. εὐθέως
ἀμυοι τινες ἐπιλαμβάνονται ἡμῶν ὡς ἀπονόητα τὰ
καθ᾽ ἡμᾶς λέγοντας, οὕστινας καὶ ἐρωτῆσαι βουλόμεθα.
εἰπάτε ἡμῖν τοῦτο οὗτοι· πῶς ἐν πόλει τινὶ θανατικὸν γίνεται,
ἐκ δὲ τῆς πόλεως ἐκείνης ὑπάρχουσιν ἐν ἑτέραις χώραις
δύο ἢ τρεῖς χιλιάδες πραγματευομένων ἀνδρῶν, καὶ οὐδεὶς
ἐξ αὐτῶν ἐτελεύτησεν. εἰ γὰρ θεία ὀργὴ κατὰ τῆς πόλεως
ἐκείνης ἔφθασεν, ἔδει πάντως καὶ τοὺς πόρρω ὄντας τῆς
ὀργῆς τεύξασθαι. εἰ δὲ μὴ πάντας, κἂν τινὰς ἐξ αὐτῶν. πλὴν
ἵνα μὴ δώσωμεν ἀφορμὴν τοῖς ταῦτα ζητοῦσι φαμέν, ὅτι

πολλάκις τὰ μὲν ὑπὸ τοῦ θανατικοῦ, καὶ κατὰ θεοῦ ἀπειλὴν γένονται· τὰ δέ, καὶ κατὰ ἀέρων καὶ τῶν λοιπῶν αἰτιῶν ὧν προειρήκαμεν, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον καὶ καταφθείρει τὰ νήπια ὡς ἀσθενέστερα· πλὴν καὶ τῶν ἀέρων καὶ τῶν ἀναθυμιάσεων, ποιητής ἐστιν ὁ θεὸς ὁ εἰπών, οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τῆς γῆς ἄνευ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· καὶ ὅτι ἡμῶν τῶν πιστῶν καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν :-

Ἆρα ὠφελεῖται ἢ λυπεῖται ὁ ἐκ θανατικοῦ, ἀπὸ πόλεως εἰς ἄλλην φεύγων χώραν; :- ἐρώ.

Τοῦ προφήτου πρὸς τὸν θεὸν λέγοντος· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω, εὔδηλον μὲν ὅτι τὸν θεὸν φυγεῖν οὐ δύναται· εἰ δ' ἀήρ ἐστιν ἢ ἄλλη κοσμικὴ αἰτία ἐστὶν ἡ τὸν λοιμὸν ποιοῦσα, ἴσως ἐκφύγοι τις ταύτην, εἰς ἑτέραν χώραν μεταβαίνων :- ἀπόκ.

Πόθεν ὁρῶμεν τινὰς μὲν δικαίους ψυχορραγοῦντας ἐπὶ ἡμέρας καὶ κρινομένους, τινὰς δ' ἁμαρτωλοὺς εἰρηνικῶς καὶ συντόμως ἐκπνέοντας :- ἐρώ.

Πάντα μὲν τὰ κρίματα τοῦ θεοῦ γινώσκειν ἀδύνατόν ἐστι, καὶ διὰ τοῦτο καλὸν ὑπάρχει μὴ πολυπραγμονεῖν ἡμᾶς αὐτά· ὅμως στοχαζόμενοι λέγομεν, ὅτι πολλάκις καὶ ἄνδρες εὐσεβεῖς ἢ πρὸ θανάτου ἢ ἐν τῷ θανάτῳ βασανίζονται, ἵνα ἡμεῖς οἱ ὁρῶντες φοβηθῶμεν καὶ σωφρονισθῶμεν· ἴσως δὲ καὶ ὡς ἄνθρωποι οἱ ἅγιοι μικρόν τι ἐλάττωμα ἔχοντες, διὰ τῆς τοιαύτης βασάνου τῆς ἐν τῷ καιρῷ τοῦ θανάτου τελείως καθαί- ἀπόκ.

ἐρῶνται, ἄμοιροι λοιπὸν ἀπερχόμενοι :-

ἐρώτ. Τίνος χάριν οἱ πλείους τῶν ἁγίων ἐν νυκτὶ τίκτονται, καὶ ἐν νυκτὶ τελευτῶσιν :-

ἀποκρ. Ἐμοὶ δοκεῖ ἵνα μάθωμεν διὰ τοῦ τοιούτου ὑποδείγματος, ὅτι σκοτεινὴ ὑπάρχει τοῦ παρόντος βίου καὶ ἡ γέννησις καὶ ἡ κοίμησις, ἤγουν ἡ ἐν αὐτῷ εἴσοδος καὶ ἔξοδος :-

ἐρώτ. Πόθεν τινὲς μὲν χαλεπῶς εἰς τὸ πάθος τῆς πορνείας πολεμοῦνται, τινὲς δὲ φυσικῶς σχεδὸν τῆς τοιαύτης ἡδονῆς τε καὶ ἐπιθυμίας ἀπέχουσι, καίπερ πολλάκις πεπληθεῖς σώματα περικείμενοι :-

ἀποκρ. Ἡ τῶν σωμάτων ἐπιθυμία γίνεται ὑπὸ αὐτῷ, ἢ ἐκ θερμῆς κράσεως τοῦ σώματος, ἢ ἐκ πλειονος τρυφῆς καὶ ὕπνου καὶ ἀνέσεως, ἴσως δὲ καὶ ἐξ ἐνεργείας σατανικῆς. τίκτεται δέ, πολλάκις καὶ ἐκ τοῦ καταλαλεῖν ἑτέρους. πέμπτον, καὶ ἐξ ὑψηλοφροσύνης, ὅταν τις μεγαφρονεῖ ἐπὶ τῇ ἑαυτοῦ ἁγνείᾳ. ὁ γὰρ θεὸς τοὺς τοιούτους παραχωρεῖται πεσεῖν, ὅπως διὰ τῆς πορνείας ἀπωθεῖται τὴν ὑπερηφανίαν. καὶ ὁδηγηθεὶς εἰς ταπεινοφροσύνην, τεύξηται τῆς θείας. ἐν γὰρ συγκρίσει δύο κακῶν, κουφότερον ὑπάρχει παρὰ τὴν ὑπερηφανίαν πταῖσμα, ἡ κατὰ σῶμα φυσικὴ ἐπιθυμία. ἀγνεύουσι δέ τινες, ἢ ὑπὸ θεοῦ σκεπόμενοι, ἢ ψυχρᾶς ὑπάρχοντες κράσεως, ἢ διὰ πολλῆς ἀσκήσεως ἑαυτοὺς βιαζόμενοι, καὶ τινὰ μὴ κατακρίνοντες. εἰ δὲ καί τινες ὑπερηφανίαν ἔχοντες ἀγνεύουσι, χρὴ γινώσκειν τοὺς τοιούτους ὅτιπερ ὑπὸ τοῦ διαβόλου κατεφρονήθησαν, ἱκανῆς οὔσης τῆς ὑπερηφα

νίας ὑπὲρ ὅλα τὰ πάθη, ἐνόχους αὐτοὺς ποιῆσαι τῆς αἰωνίου κολάσεως:

Ποῖον σημεῖον ὀφείλει κρατεῖν ὁ αὐτὸς, ἵνα μὴ πλανηθῇ καὶ δέξηται τὸν ἀντίχριστον, νομίζων ὅτι ὁ Χριστὸς ἐστιν: — Ἐρώτ.

Ὅπερ ὁ Χριστὸς ἡμῶν παρέδωκεν εἰπών, ὅτι ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται εἰς δυσμάς, οὕτως ἔσται καὶ ἡ δευτέρα παρουσία τοῦ υἱοῦ τοῦ θεοῦ. ὅθεν μανθάνομεν, ὅτι πᾶς Χριστὸς ἐρχόμενος, καὶ μὴ ἐξαίφνης ἐν ὅλῳ τῷ κόσμῳ ἐν μιᾷ ὥρᾳ φαινόμενος, ἀλλ' ἐν χώρᾳ τινὶ ἢ μιᾷ πόλει εὑρισκόμενος, ὁ τοιοῦτος ἀναμφιβόλως ἀντίχριστός ἐστιν. ἐπὶ γὰρ τῆς παρουσίας τοῦ Χριστοῦ, πᾶσα αὐτῆς ἐν τῷ ἅμα εὑρίσκεται, καὶ ἐν μέσῳ αὐτῆς ὁ Χριστὸς ὑπὸ πάντων ὁρώμενος: — Ἀπόκρ.

Ἀληθὲς γὰρ ὅτι ἐξ Αἰγύπτου ἐξέρχεται ὁ ἀντίχριστος, τὸ σημεῖον ὅτι ἐν τῇ χειρὶ τῇ μιᾷ καὶ ἐν τῷ ἑνὶ ὀφθαλμῷ κέκτηται; — Ἐρώτ.

Πάντα ταῦτα γελοιώδεις μῦθοι εἰσίν. ὁ γὰρ ἀντίχριστος οὐδὲν σημεῖον τοιοῦτον κέκτηται, ἀλλὰ καὶ ἐκ τῆς Γαλιλαίας ὅθεν ἐξῆλθεν ὁ Χριστὸς ἐξέρχεται, ὡς φησὶν ἡ γραφή· σκύμνος λέοντος Δάν, καὶ ἐκπηδήσει ἐκ Βασάν. αὕτη δέ ἐστι Σκυθόπολις: — Ἀπόκρ.

Λέγουσί τινες, οὐ δύναται ὁ ἀντίχριστος νεκρὸν αὐτὸν ἀναστῆσαι, ἐπεὶ πάντα τὰ λοιπὰ ποιεῖ σημεῖα: — Ἐρώτ.

Τὸ εἰπεῖν τὸν ἀπόστολον περὶ τοῦ ἀντιχρίστου, ὅτι ἐν πᾶσι σημείοις καὶ δυνάμεσι πλάνης, εὔδηλον ὅτι καὶ νεκρὸν δεικνύσει ἐγειρόμενον, οὐκ ἐν ἀληθείᾳ, ἀλλ' ἐν φαντασίᾳ: — Ἀπόκρ.

Πῶς καὶ τινες αἱρετικοὶ ποιοῦσι πολλάκις σημεῖα: — Ἐρώτ.

ἀπκρ. Τοῦτο ἡμᾶς οὐκ ὀφείλει ξενίζειν· ἠκούσαμεν γὰρ τοὺς λέγοντας, ὅτι πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐροῦσι, κε, οὐκ ἐν τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται τῆς ἀνομίας. πολλάκις γὰρ, οὐχ ἡ πολιτεία τοῦ θαυματουργοῦντός ἐστιν ἡ τὴν ἴασιν ἐργαζομένη, ἀλλ' ἡ πίστις τοῦ πρὸς αὐτὸν ἐρχομένου ἀνθρώπου. γέγραπται γὰρ, ἡ πίστις σου σέσωκέ σε. πλὴν δεῖ καὶ τοῦτο γινώσκειν, ὅτι πολλάκις τινὲς κακόπιστοι καμάτους πολλοὺς δι' ἀσκήσεως τῷ θεῷ προσήγαγον, τὴν ἀντιμισθίαν αὐτῶν ἔλαβον ἐν τῷ νῦν αἰῶνι ἐκ θεοῦ, τὸ τῶν ἰαμάτων καὶ προρρήσεων χάρισμα, ἵνα ἐν τῷ μέλλοντι αἰῶνι ἀκούσωσιν, ὅτι ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν καὶ τοὺς καμάτους ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν, νῦν ὁ λοιπὸν οὐδὲν ὑμῖν κεχρεώστηται:—

ἐρώ. Ἐὰν καιρῷ ἑορτῆς καταλειφθῇ τις ἄνθρωπος ἐν χώρᾳ ἐν ᾗ κοινωνία τῆς καθολικῆς ἐκκλησίας οὐκ ἔστι, τί ὀφείλει διὰ τὴν ἑορτὴν σκέψασθαι, κοινωνῆσαι τοῖς αἱρετικοῖς, ἢ μεῖναι ἀκοινώνητος:—

ἀπκρ. Εἰ πολὺς καὶ χαλεπὸς ὁ κίνδυνος τὸ τὴν ἰδίαν γυναῖκα μοιχεῦσαι, καὶ ἄλλῃ συγγενέσθαι κἂν ἐν ἀποδημίᾳ τυγχάνῃ, πόσῳ γε μᾶλλον τὴν ὀρθὴν πίστιν προδοῦναι, διὰ τὸ τοῖς αἱρετικοῖς συγκοινωνῆσαι. ὥσπερ γὰρ οἱ τὴν ἑαυτῶν πραγματείαν πωλῆσαι βουλόμενοι, ὅταν ἀλλάζονται ἐπὶ ξένης βαδίζωσιν, οὐ καταδέχονται λαβεῖν ἀντὶ τοῦ βασι-

λικοῦ χαρακτῆρος καὶ ἐξοχώτατον, οὕτω καὶ ἐπὶ τῆς κοινωνίας χρὴ λογίζεσθαι. τὸ γὰρ εἰπεῖν τὸν ἀπόστολον ὅτι εἷς κύριος, καὶ μία πίστις, καὶ ἓν βάπτισμα, ἐσήμανεν ἀκριβῶς, ὅτι μία καὶ μόνη ἐν κόσμῳ ἀληθινὴ ὑπάρχει πίστις, ἣν ἡ ἁγία κρατεῖ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. καὶ ἓν βάπτισμα καθαρτικόν, καὶ ἁμαρτιῶν λυτρωτικόν, καὶ εἷς κύριος ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ὑπάρχει. τὸ ὁ μὴ οὕτω φρονῶν, πεπλάνηται: -

Τὸ μέγα καὶ πολυθρύλλητον καὶ σχεδὸν παρὰ ἁπάντων ζητούμενον, ὅ ἐστι θέλομεν λέγειν ἔχειν τὸν ἄνθρωπον ὅρον ζωῆς, ἢ οὔ. εἰ μὲν γὰρ ὅρος ἐστί, πῶς φησιν ὁ δαβὶδ πρὸς θεόν, μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. εἰ δ' οὐκ ἔστιν ὅρος, πῶς πάλιν ὁ αὐτὸς λέγει, ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου. εἰ δ' πάλιν ὅρος ἐστί, πῶς ὁ σολομῶν φησί, μὴ γίνου σκληρός, μηδὲ ἀσεβὴς ἐπὶ πολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου. εἰ δ' οὐδὲ ἔστιν ἐν οὐ καιρῷ ἀποθανεῖν, πῶς ἐστὶν εὔλογε λέγειν, ὅτι θάνατοι ἐπάγονται τοῖς ἀνθρώποις, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων. πῶς δὲ καὶ τῷ ἐζεκίᾳ καὶ τοῖς νινευίταις ζωὴν αἰτουμένοις, προσέθηκεν ὁ θεός: - ἐρώτ.

Ἡ τῆς θείας πίστεως, τὸ μεταδοχεῖον τῆς γνώσεως, παῦλος ὁ ἀπόστολος πρὸς κορινθίους γράφων φησί. ὁ γὰρ ἀναξίως ἐσθίων τὸν ἄρτον, ἢ πίνων τὸ αἷμα τοῦ χριστοῦ, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. καὶ διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. πρόσεχε μετ' ἀκριβείας. διὰ τὸ ἀναξίως ὑμᾶς μεταλαμβάνειν φησίν, ἀποθνή ἀπόκ.

ὅπερ τε οἱ πολλοί· ὡς εἰ ἀξίως μετελάμβανον, οὐκ ἀπέ-
θνησκον ὅτε. καὶ ποῦ λοιπὸν ζητοῦμεν τὸν ὅρον τῆς ζωῆς,
τὸν παρὰ πολλοῖς ἡμῖν προβαλλόμενον. πάλιν πρὸς τὸν
Ἐλιφὰζ τὸν Θαιμανίτην φησὶν ὁ θεός· ἥμαρτες σὺ καὶ οἱ δύο
φίλοι σου, καὶ εἰ μὴ διὰ Ἰὼβ τὸν θεράποντά μου, ἐξωλό-
θρευσα ἂν ὑμᾶς. ὥστε διὰ τὴν τοῦ Ἰὼβ πρὸς τὸν θεὸν ἀρετὴν
οὐκ ἀπέθανον, καὶ οὐ διὰ τὸ πληρωθῆναι τὸν ὅρον τῆς ζωῆς
αὐτῶν. εἰ γὰρ ὥς τισι δοκεῖ, πεπερασμέναι εἰσὶ καὶ ὡρισμέναι
τοῦ ἀνθρώπου αἱ ἡμέραι, μηδεὶς λοιπὸν ἐν ἀνομίαις μέλλων
τελευτᾶν, αἰτείτω δάκρυσι πρὸς δεσπότην ζωὴν καὶ ἐπι-
στροφὴν αὐτοῦ ἐκ θεοῦ αἰτήσασθαι, μηδὲ περὶ ζωῆς τῶν ἑαυτοῦ
τέκνων ἐνδυσωπείσθω. ὁ γὰρ ὅρος, ὅρος ἐστί, καὶ προσθήκην
κατ' αὐτοὺς ἀδύνατον γενέσθαι. καὶ πῶς φησὶν ἡ γραφή,
τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὅπως ἔσῃ πολυχρόνιος.
ὅρος τοίνυν ἐστὶ τῆς ζωῆς τοῦ ἀνθρώπου, ἡ βουλὴ τοῦ θεοῦ, καὶ ὡς θέλει
βουλεύεται πρὸς ἔθνος, τὸ ἐνθα μέλλει ὑφαιρεῖται, πάντα
ποιῶν πρὸς τὸ ἑκάστου συμφέρον. καὶ ὡς περ ὁ δεσπότης
τῆς ποίμνης, ὅτε βούλεται ἀποστέλλει καὶ φέρει οἷα βούλεται
πρόβατα, οὕτω καὶ ὁ θεὸς ἐπὶ τῶν ἀνθρώπων ποιεῖ, καὶ τότε ἐπι-
γίνεται ὁ θάνατος τῷ ἀνθρώπῳ, τοῦ ὅρου ἤγουν τοῦ χρόνου τῆς ζω-
ῆς αὐτοῦ, τῇ κελεύσει τοῦ θεοῦ πληρωθέντος. ὅρος τοιγαροῦν
ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστιν ἡ κέλευσις τοῦ θεοῦ
καὶ ἡ βουλή:

ἐρώτ. Ἀμήχανον τὸ πρᾶγμα τοῖς πολλοῖς καὶ ἀδύνατον νομίζεται,
τῶν καταφθαρέντων σωμάτων ἡ ἀνάστασις. πῶς γάρ φησιν

ἢ πόθεν ἀναστήσεται ἡ σάρξ, ἣν πολλάκις καταπίασαν
ἔφαγον χίλιοι ἰχθύες, καὶ πάλιν τοὺς χιλίους ἰχθύας ἔ-
φαγον χίλιοι ἄνδρες, καὶ τοὺς χιλίους ἄνδρας χίλιοι λέοντες :-

Ὁμολογεῖτε ὦ ἀνόητοι πάντα δυνάμενον εἶναι τὸν θεὸν δημι- ἀπό(κρισις)
ουργοῦ τὴν οὐσίαν; πάντως ἐρεῖτε ὅτι ναί. ὥστε μάθετε
ἀκριβῶς ὦ ἄφρονες, ὅτι ὥσπερ ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πα-
ρενέγκας θεὸς τὸν ἄνθρωπον, αὐτὸς ἀρρήτῳ τινὶ λόγῳ καὶ ἀναπλά-
σαι αὐτὸν δύναται. τί γάρ ἐστιν εἰπέ μοι τῷ κεραμεῖ εὐκο-
πώτερον, τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν τὸ
σκεῦος, ἢ τὸ συντριβὲν πάλιν ἀνακαινίσαι, πρόδηλον ὅτι τὸ
ἀναπλάσαι βουλόμενον ἤδη, κἂν εἰς πολλὰ διεσκορπίσθη
μέρη. ἵνα δὲ καὶ φυσικῇ ἀκολουθίᾳ χρησώμεθα καὶ ὑπο-
δείγματι, ἄκουε. ὥσπερ πάντως τοῦ ἐπὶ γῆς πυρὸς τὸ
τῆς θέρμης πηγὴ καὶ ῥίζα ὁ ἥλιος ὑπάρχει, καὶ σβεννυ-
μένης καμίνου, εὔδηλον ὅτι ἡ θέρμη αὐτῆς πρὸς τὸν ἥλιον
ἀοράτως ἀνέδραμεν, καὶ πάλιν ἁπτομένης αὐτῆς δῆλον
ὅτι τὸ πῦρ ἐκ τοῦ ἡλίου παραγίνεται τὸ ἐξ αὐτῆς ἀναχωρῆσαν,
οὕτω καὶ ἐπὶ τῶν καταφθειρομένων καὶ διαλυομένων
ἀνθρώπων σωμάτων μοι νόησον, ὅτι ὥσπερ εἰς ὅσας ἂν θηρίων ἢ
ἰχθύων ἢ ὀρνέων γαστέρας διαμερισθῇ ὁ ἄνθρωπος, εἰς τὰ τέσ-
σαρα πάντως στοιχεῖα ἀναλύεται καὶ ἀπέρχεται, ἐξ ὧν
καὶ συνέστηκε κατὰ τὸ τοῦ ἡλίου ὑπόδειγμα. καὶ εἰς μὲν
τὰ ὕδατα ἀπέρχεται τὸ ὑγρόν, εἰς δὲ τὸν ἀέρα τὸ ψυχρόν.
εἰς δὲ τὸ πῦρ πρόδηλον τὸ θερμόν. εἰς δὲ τὴν γῆν πάλιν τὸ ξη-
ρόν. τῷ δὲ καιρῷ τῆς ἀναστάσεως κελεύσει θεοῦ ἀοράτως,

ἀποδιδῶσιν ἕκαστον τῶν στοιχείων ὅπερ ἔλαβεν ἀποθανόντος τοῦ ἀνθρώπου, καὶ προστρέχει ἡ ψυχὴ καὶ ἀνίσταται ὁ ἄνθρωπος, ὡς οἶδε μόνος ὁ πλάστας αὐτόν· σπαρεὶς μὲν εἰς γῆν ἐν φθορᾷ, ἐγειρόμενος δ' ἐν ἀφθαρσίᾳ. ὅθεν καὶ τὰς σαμαρείτας ἐντεῦθεν ἐλέγξαι δυνάμεθα, ὅτι τὸ σῶμα τοῦτο ἀνίσταται, ἐκ τοῦ καὶ αὐτοὺς ὥσπερ τινὰ κόκκον σίτου γῆς κατακρύπτειν τὰ σώματα. τούτου γὰρ χάριν ὁ θεὸς καὶ ἀπαρχῆς διὰ τῶν πρώτων ἐνομοθέτησε σκάπτοντας ἡμᾶς κατακρύπτειν τὰ τεθνεῶτα σώματα, ὅπως καὶ ἄκων ὁμολογεῖ ὁ ἄνθρωπος τὴν ἀνάστασιν. πᾶν γὰρ τὸ ὑφ' ἡμῶν ἐν τῇ γῇ χωννύμενον, εὔδηλον ὅτι ἐπ' ἐλπίδι ἀναστάσεως κρύπτεται. εἰ δ' οὐκ ἔστι νεκρῶν ἀνάστασις καθὼς οἱ αἱρετικοὶ λέγουσιν, ἄδικος λοιπὸν ὁ θεὸς εὑρεθήσεται· πολλοὺς μὲν δικαίους ἐνταῦθα ταλαιπωρηθέντας καὶ ἀναιρεθῆναι κακῶς συγχωρήσας, πολλοὺς δ' ἀσεβεῖς καὶ ἁμαρτωλοὺς εὐζωίαν τε εὐτεκνίαν καὶ εὐπραγίαν δωρησάμενος. ἀλλὰ μὴ πλανάσθωσαν σαμαρειτῶν παῖδες, ἔσται γὰρ ποτὲ ἀναστάσεως ἡμέρα καὶ κρίσεως καιρός, ὅπως καὶ οἱ ἐνταῦθα κακοπαθήσαντες εὐσεβεῖς στεφανωθῶσι. καὶ πάλιν εὑρεθέντες ἀσεβεῖς, τῷ αἰωνίῳ πυρὶ εἰς αἰῶνας αἰώνων κατακαυθῶσιν κατὰ τὸ δίκαιον κρίμα τοῦ θεοῦ:–

Ἐρώτ.

Ποῦ ὑπάγουσι τὰ τελευτῶντα πιστῶν νήπια, εἰς κόλασιν, ἢ εἰς βασιλείαν. καὶ ποῦ τὰ τῶν ἀπίστων νήπια. καὶ ποῦ τὰ τῶν πιστῶν ἀβάπτιστα ἀποθνήσκοντα τελευτῶντα, μετὰ πιστῶν ἢ ἀπίστων:–

Θε

Τοῦ κυρίου λέγοντος, ἀφέτε τὰ παιδία ἔρχεσθαι πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ πάλιν τοῦ ἀποστόλου φάσκοντος, νῦν δὲ τὰ τέκνα ὑμῶν ἅγιά ἐστιν. πρόδηλον ὅτι ὡς ἄσπιλα καὶ πιστὰ εἰς τὴν βασιλείαν εἰσέρχονται τὰ τῶν χριστιανῶν νήπια. τὰ δὲ ἐθνικὰ καὶ ἀβάπτιστα, οὔτε εἰς βασιλείαν, ἀλλ᾽ οὔτε πάλιν εἰς κόλασιν, ἁμαρτίαν γὰρ οὐκ ἔπραξαν :- ἀπ.

Ἆρα πάντες οἱ αἱρετικοὶ εἰς ἀπώλειαν ἀπέρχονται, ἢ οὔ; :- ἐρώ.

Ἔστιν αἵρεσις, καὶ ἔστιν αἵρεσις. καὶ ἔστι κρίμα, καὶ ἔστι κρίμα. ἄλλη γὰρ ἡ ἀπώλεια τῶν μανιχαίων, καὶ τῶν μοντανιστῶν, καὶ σιμωνιανῶν, καὶ ἀρειανῶν καὶ πνευματομάχων, καὶ τῶν τοιούτων θεοκαπήλων αἱρετικῶν. καὶ ἄλλο πάλιν κρίμα τῶν λεγόντων ἄφθαρτον σῶμα ἀναλαβεῖν ἐκ τῆς ἁγίας θεοτόκου τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν. πλὴν ὁ ἐν ὀλίγῳ ἄπιστος, καὶ ἐν πολλῷ ἄπιστός ἐστιν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ αὐτῇ τῇ μιᾷ αἱρέσει πολλὰ καὶ διάφορα ὑπάρχουσι κρίματα. ἄλλη γὰρ ἡ ἁμαρτία τοῦ ἐπισκόπου πλανῶντος τὸν λαόν, καὶ ἄλλο κρίμα τοῦ κληρικοῦ τοῦ δυναμένου μαθεῖν τὴν ὀρθόδοξον πίστιν. καὶ ἄλλο πάλιν τοῦ μὴ δυναμένου μαθεῖν. καὶ ἄλλο πάλιν τοῦ ἀναθεματίζοντος τὴν ἀλήθειαν, καὶ ἀντιμαχομένου ἡμῖν, καὶ ἄλλο τοῦ ἐν γνώσει σφαλλομένου, καὶ ἄλλο τοῦ ἐν ἀγνοίᾳ. καὶ ἄλλο πάλιν τὸ πάντων κουφότερον τὸ τῆς γυναικός, ἀλλ᾽ ἅπαντα ταῦτα μόνος γινώσκει ἀκριβῶς ὁ μέλλων κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ θεός :- ἀπ.

ἐρώ. Εἰ ἔξον ἄρα τοῖς ἄρχουσι δῶρα δέχεσθαι, καὶ εἰς πτωχοὺς ταῦτα ἀναλίσκειν; :—

ἀπόκ. Εἰ μέν τινες εὐεργετηθέντες ἐν εὐπορείᾳ τυγχάνουσιν, καὶ ἑκουσίως αὐτοῖς ταῦτα προσφέρουσιν, ἴσως οὐ πολὺ κρίμα ἔχουσιν οἱ δεχόμενοι, δηλονότι ἐὰν εἰς πτωχοὺς αὐτὰ διανείμωσιν. ἐπεὶ ὅταν ἐκ πενήτων ἢ ἐκ χειροτέρων δέξονται δῶρα, καταπονουμένων καὶ αὐτὴν λῆψιν ζητούντων, πῦρ καὶ κόλασιν ἐστὶ τοῖς συνάγουσι, κἂν εἰς μυρίας αὐτοὶ εὐποιΐας δώσωσι, καθὼς φησὶν ἡ γραφή, ὅτι πῦρ καταφάγεται οἴκους δωροδεκτῶν :—

ἐρώ. Ἐὰν ἀνὴρ ἅγιος ἀποστείλῃ παιδείαν ἢ τιμωρίαν, ἢ δαίμονα ἢ θάνατον, ἢ ἄλλην τινὰ παίδευσιν εἰς οἶκον, ἢ εἰς οὐσίαν αὐτοῦ, ἢ εἰς τέκνα, ἄρα δύναται ὁ αὐτὸς ἐκεῖνος παρακαλέσας ἕτερον ἅγιον ἐκφυγεῖν τὴν ἀπόφασιν ἣν ἀπέστειλεν αὐτῷ ὁ δοῦλος τοῦ θεοῦ; :—

ἀπόκ. Ἐὰν ὁ ἀνὴρ ἅγιος ἐστὶν ὁ τὴν τιμωρίαν ταύτην ἀποστείλας, εὔδηλον ὅτι βουλῇ θεοῦ τοῦτο πεποίηκε, καὶ τίς ἐστι λοιπὸν ὁ τὴν βουλὴν τοῦ θεοῦ ἀναλῦσαι δυνάμενος. πλήν, οὔτε αὐτοὶ οἱ ἅγιοι ἀλλήλοις ποτὲ ἀντιπολεμοῦσιν, γινώσκοντες τὸν σύνδεσμον τῆς ἀγάπης τοῦ πνεύματος. καὶ ὅτε οὐκ εἰσακούσεται ὁ κύριος ἁγίου τοῦ δι' εὐχῆς ἀναλῦσαι βουλομένου ἄλλου ἁγίου ἐντολήν, οὔτε γὰρ πρέπον θεῷ ἕνα μὲν θλῖψαι, ἕνα δ' ἀναπαῦσαι θεράποντα αὐτοῦ. ὅθεν τὸν ἐν Κορίνθῳ πορνεύσαντα Παῦλος ὁ δήσας, αὐτὸς καὶ ἔλυσε. καὶ τὸν οὐρανὸν ἐν τῇ παλαιᾷ ἅπαξ ἀβροχίαν Ἠλίας ἔδησε, καὶ πάλιν ὁ αὐτὸς ἔλυσε. καὶ

περ ἔχοντες τότε τὸν θεὸν ἑπτακισχιλίους ἄνδρας ἀξίους, οἵ-
τινες οὐκ ἔκαμψαν γόνυ τῇ βάαλ. καὶ πάλιν ὑβρισθέντος τοῦ
ἰὼβ ὑπὸ τῶν ἑαυτοῦ φίλων, αὐτῷ πεποίηκεν ὁ θεὸς συγχωρῆ-
σαι αὐτοῖς τὸ ἁμάρτημα, λέγων αὐτοῖς, ὅτι πορεύεσθε πρὸς
τὸν θεράποντά μου ἰὼβ, καὶ προσεύξεται περὶ ὑμῶν. καὶ
ὥσπερ ἐπὶ τῶν ἀξίων ἀγγέλων οὐκ ἀντέπραττεν ἕτερος ἑτέρῳ,
οὕτω καὶ ἐπὶ τῶν ἀξίων νομίζωμεν :—

Πόθεν τινὲς φύσει καὶ ἀβιάστως ὑπάρχουσιν ἐλεήμονες, ἐρω(τ).
τινὲς δὲ πάλιν φυσικῶς εἰσὶν ὠμοὶ καὶ ἄσπλαγχνοι εἰς
μετάδοσιν :—

Οὐδεὶς ὑπὸ τοῦ θεοῦ γέγονε φύσει ἀσυμπαθὴς καὶ ἄσπλα- ἀπο(κ).
γχνος. φύσει δὲ μᾶλλον ὁ θεὸς τὸ φιλάλληλον εἰς τὴν τοῦ ἀνθρώπου
οὐσίαν ἐνέθηκεν, οὐκ ἐν τῇ ἀνθρώπου δὲ μόνον, ἀλλὰ καὶ ἐν τῇ- :τὸ
τῶν ἀλόγων καὶ πετεινῶν. ὅθεν πολλάκις ἐξ ἀλλήλων χω-
ριζόμενα, στενάζουσι καὶ βοῶσι καὶ νηστεύουσι, τινὰ δὲ
καὶ δακρύουσι. κορώνων δὲ γένος καὶ βρῶμα εὑρεθῆναι,
εὐθέως ἀλλήλας τῇ φωνῇ κράζουσι πρὸς μετάληψιν.
καὶ πῶς λοιπὸν πολλὰ οὐ μέλλωσι καὶ τῶν ἀλόγων ἡμᾶς
κατακρίνειν ἐν ἡμέρᾳ τῆς κρίσεως, οὐ μόνον διὰ τὴν ἀ-
σπλαγχνίαν, ἀλλὰ καὶ διὰ τὴν ἀκολασίαν ἣν ἔχωμεν. ἐκεῖ-
να γὰρ οὐ μόνον ἄρσεν ἄρσενος εἰς συνουσίαν οὐχ ἅπτονται,
ἀλλὰ καὶ αὐτῆς τῆς θηλείας πρὸς ὀλίγας καὶ μόνον ἡμέρας
ἐφίενται. τινὰ δὲ καὶ χηρεύουσι, πλεονεξίαν οὐκ οἶδε, λοιδο-
ρίαν οὐ μεταχειρίζεται. τὸ δὲ χαλεπώτερον, οἵπερ κατ' εἰκόνα
καὶ ὁμοίωσιν θεοῦ γινόμενοι, καὶ ἄρχειν τῶν ἀλόγων τε-

ταττόμενοι, πρὸς ὃ συνεβλήθημεν τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιώθημεν αὐτοῖς :—

ἐρώτ. Ποῖαι πλεῖον πάντων ἀρεταὶ τοῖς ἄρχουσι πρέπουσι καὶ ἁρμόζουσι :—

ἀποκ. Περιττουμένως τὸ συμπαθητικὸν καὶ φιλάνθρωπον, τὰ καὶ θεῷ ὑπάρχοντα, εἶτα τὸ ἀμνησίκακον, τὸ ἀόργητον καὶ ἀπροσωπόληπτον καὶ ἀδωροδόκητον, καὶ πρὸ πάντων τὸ μὴ εὐχερῶς μηδὲ ἀνεξετάστως διαβολίαις καὶ λοιδορίαις πείθεσθαι. ἀπὸ γὰρ λογοπειθείας, πολλοὺς φόνους ἀδίκους ποιοῦσιν. ὡσαύτως καὶ ἐξ ἀλαζονίας. ὁμοίως καὶ ἀπὸ μνησικακίας. ὥσπερ καὶ ἀπὸ θυμοῦ καὶ δωροδοκίας. ἐκεῖνος τοίνυν ὁ ἄρχων τῷ θεῷ εὐάρεστός ἐστιν, ὁ μηδενὶ τῶν τοιούτων παθῶν ἑαυτῷ κτώμενος :—

ἐρώτ. Πόθεν ὁρῶμεν τινὰς πονηροὺς καὶ ἀναξίους εἰς ἀρχιερωσύνην καὶ εἰς ἐξουσίαν λαοῦ προχειριζομένους, καὶ πολλὰ ἄτοπα κατεργαζομένους :—

ἀποκ. Οὐ διὰ τὸ αὐτοὺς εἶναι ἀξίους εἰς ἀρχιερωσύνην ἢ εἰς ἐξουσίαν ὁ θεὸς προχειρίζεται τοῦ ἐξουσιάζειν λαοῦ, ἀλλὰ διὰ τὸ εἶναι τὸν λαὸν πονηρόν, τοιούτους αὐτοῖς ἀρχιερεῖς προβάλλει. διὸ τὸ γρ(αφὴ) ἡμῖν φησίν· ὁ θεὸς ἄρχοντας κατὰ τὰς καρδίας ὑμῶν :—

ἐρώτ. Πόθεν ὀφείλει γνῶναι ὁ ἄνθρωπος τὸν θεὸν περὶ αἰτήματος, εἰ προσεδέχθη ἡ δέησις αὐτοῦ :—

ἀποκ. Σπανίως ἐστὶ καὶ θεοσεβέσιν αὐτοῖς ἂν τοῦτο καταδηλον γίνεται, τῆς ἑαυτῶν καρδίας νοερῶς πληροφορουμένης :—

Ἐκ τεσσάρων περάτων λέγομεν τὸν κόσμον συνίστασθαι, ἐπεὶ πά- ἔξω.
λιν ἐκ τεσσάρων στοιχείων τὸν ἄνθρωπον συγκεῖσθαι, πρόδηλον
οὖν ὅτι τὰ τέσσαρα πέρατα, τουτέστιν ἀνατολὴ καὶ δύσις, ἄρ-
κτος καὶ μεσημβρία, τὰ τέσσαρα στοιχεῖα γεννῶσιν, ἤγουν
τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ ὑγρὸν καὶ τὸ ξηρόν· ζητητέον λοιπὸν
ποῖον στοιχεῖον ἐν ποίῳ μέρει τοῦ κόσμου τέτακται: —

Ὡς ἡ τῶν πραγμάτων φύσις μαρτυρεῖ καὶ διδάσκει, θεω- ἀπο.
ροῦμεν ὅτι τὸ μὲν θερμὸν στοιχεῖον, ἐκ τῆς ἀνατολῆς τῷ
τοῦ ἡλίῳ τέτακται, καὶ μαρτυροῦσι τὰ πάσης τῆς ἀνα-
τολικῆς τὰ ἰνδικὰ σώματα ὑπὸ τῆς ἄκρας θέρμης μελα-
νὰ γενόμενα. ὁ τῆς γὰρ ἀπαρκτικῆς αὔρα μελανοῦν οὐκ ἐποί-
ησε, διὸ καὶ τὰ νεκρὰ σώματα ἐν τῷ ἡλίῳ γενόμενα, μελα-
νοῦνται καὶ καίονται. ὅθεν ἐκ τῆς πολλῆς καὶ ἄκρας θερ-
μότητος, πολὺν οἶνον οἱ αἰθίοπες πίνειν οὐχ ὑποφέρου-
σιν. ὑπὸ δὲ τῆς ἄκρας ζέσεως καὶ θυμώδεις εἰσὶ λίαν
καὶ καταπικροί, ἀλλὰ καὶ πρὸς πορνείαν θερμοτέρως
κινούμενοι. ὥσπερ δὲ ὅτι τῆς ἀνατολῆς τοῦ ἡλίου ταῦτα
εἰρήκαμεν, οὕτω δὴ πάλιν τὰ ἐναντία εὑροῦμεν ἐπὶ τῆς
δύσεως. ψυχρὰ γὰρ αὕτη ὑπάρχει, καὶ τοῦ ψυχροῦ στοι-
χείου καὶ τῆς νυκτὸς γεννητικὴ καὶ ποιητική, διὸ καὶ λευ-
κότερα πάσης τῆς γῆς τὰ τῆς δύσεως ὑπάρχουσι σώματα,
καὶ οἶνον πολὺν πίνειν ὑπομένοντα. λείπει λοιπὸν ἡμᾶς
λέγειν τὴν ἐρημικὴν μεσημβρίαν μέρος εἶναι τοῦ ξηροῦ
στοιχείου, ὡς καὶ τὰ ἐν αὐτῇ τῶν ἀρράβων σώματα ξηρό-
τερα τυγχάνοντα, πλὴν καὶ θερμότερα, ὡς ἐν γῇ ἀνύδρῳ

τέρα γινόμενα. ὁ δέ γε βορρᾶς, εὔδηλον ὅτι ὑγρότερός ἐστι κεράσεως. αἱ γὰρ θάλασσαι καὶ οἱ ποταμοὶ καὶ τὰ πλήθη τῶν ὑδάτων, τοῦ ὑγροῦ ἐκείνου στοιχείου εἰσὶ ποιητικά. ταῦτα δὲ εἴπωμεν, οὐκ ἀφορίζοντες τὰ στοιχεῖα ἀπ' ἀλλήλων, συνδέδεται γὰρ ἐν πάσῃ τῇ κτίσει, ἀλλ' ὅτιπερ ἐν τοῖς τέσσαρσι τόποις οἷς εἰρήκαμεν πλεονάζει ἕτερον τοῦ ἑτέρου, κατὰ τὴν προκειμένην φυσιολογίαν εἰρήκαμεν:

ἐρώτ. **Π**ῶς καὶ φαρμακοί τινες ἐκδιώκουσιν ἐκ τῶν ἀνθρώπων δαίμονας:

ἀποκ. **Τ**οῦ Χριστοῦ ἐν τοῖς ἁγίοις εὐαγγελίοις λέγοντος, ὅτι εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἡ βασιλεία αὐτοῦ οὐχ ἵσταται, εὔδηλον ὅτι δαίμονα φαρμακὸς οὐ διώκει, ἀλλ' ὁ δαίμων ὁ ἐν τῷ δαιμονιζομένῳ οἰκῶν, ἑκουσίως ἀναχωρεῖ πρὸς τὸ ἀπατῆσαι τοὺς ἀνθρώπους. καὶ ἀντὶ τοῦ πρὸς θεὸν καταφεύγειν, πείσει πρὸς τοὺς φαρμακοὺς τρέχειν:

ἐρώτ. **Π**ῶς ἐπὶ τοσοῦτον ἰσχύει φαρμακός, ὥστε καὶ εἰς ἀλλότριον φύσιν μετενέγκαι τὸν ἄνθρωπον:

ἀποκ. **Ε**ἰ ἠδύνατο ἐξ ἀνθρώπων ζῷον ἀποτελέσθαι, πάντως ἴσχυσε καὶ ἐξ ἀλόγου ἄνθρωπον συστήσασθαι λογικόν. ἀλλ' οὐκ ἔστι τοῦτο μὴ γένοιτο, ἀλλ' ὥσπερ ψηφᾶδες. καὶ πάλιν αὐτὸς ὁ ἀντίχριστος ἐρχόμενος ἐν φαντασίᾳ, πλανᾷ τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων χρυσίον αὐτοῖς πολλάκις ἢ ἀργύριον ὑποδεικνύς, οὕτω καὶ οἱ λέγοντες ἐξ ἀνθρώπων ζῷον ποιεῖν, τοὺς ὁρῶντας καὶ μόνον ἀπατῶσι. ἐπεὶ τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ γενόμενον ἄνθρωπον, κτῆνος ποιῆσαι οὐ δύναται:

ἐρώτ. **Ἅ**περ κειμήλια κέκτηνται οἱ κλοπὴν ὑπομένοντες, ἢ εἰς τοὺς

λεγομένους μαθητὰς ὑπάρχειν ; :-

Καὶ πάνυ μέγα· ὁ διδάξας γὰρ ἡμᾶς ἡ γραφὴ ἐπὶ πάσῃ συμφορᾷ ἡμῖν ἐπερχομένῃ, τό, ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας, ἀμήν :- ἀπόκ.

Πῶς τινὲς ἐν τοῖς θανατικοῖς ἀποθνήσκουσι, καὶ θεωροῦσι τινὰς ὀπτασίας, καὶ μετὰ δύο ἢ τρεῖς ὥρας ἀνίστανται διηγούμενοι :- ἐρώτ.

Ἐπὶ τῶν τοιούτων, οὐ τελείως τότε ἡ ψυχὴ ἐκ τοῦ σώματος ἐξῆλθεν, ἀλλ' ἐν ἐκστάσει γίνεται, καὶ ὑφ' ἡμῶν ἐκπνεύσαντες νομίζονται· ἅπερ ὁρῶσι καὶ διηγοῦνται φοβερά, πρὸς τὸ ἡμῖν συμφέρον ὁ θεὸς αὐτοῖς ὑπέδειξεν, ἵνα φοβηθέντες διορθωσώμεθα ἑαυτούς, ἀποσχόμενοι τῶν πονηρῶν ἡμῶν πράξεων :- ἀπόκ.

Πόθεν ὅτι γινώσκει ἡ ψυχὴ ἀπλανῶς τὸ ἴδιον σῶμα ἐν τῇ ἀναστάσει, καὶ οὐκ εἰς ἀλλότριον εἰσέρχεται :- ἐρώτ.

Φυσικὴ ἀκολουθία. ὥσπερ γὰρ ἀρνία ἀπὸ μητέρας χωρισθέντα, εἶτα πρωΐας ἀπολυθέντα ἀπλανῶς ἕκαστον ὑπὸ τῆς φύσεως πρὸς τὴν ἰδίαν μητέρα ἔρχεται, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν νοήσωμεν ἐν τῇ ἀναστάσει γενέσθαι :- ἀπόκ.

Ἐάν τις λῃστὴς ἑκατὸν φόνους ποιήσας κρατηθεὶς ἀποκεφαλισθῇ, τί λέγομεν περὶ αὐτοῦ· ἆρα ἠλευθερώθη ὅλων τῶν φόνων ὧν ἐποίησεν, ἢ οὔ; :- ἐρώτ.

Ἑνὸς καὶ μόνου δέδωκεν δίκην, τῶν δὲ λοιπῶν ἐνενήκοντα ἐννέα, ἐν τῷ αἰῶνι τῷ μέλλοντι ἀπολογήσεται. γινώσκει ἀπόκ.

δ' ἄξιον, ὅτι πολλάκις καὶ ἀναίτια φόνον ποιήσας ἄνθρωπος, καὶ
κρατηθεὶς ἀποκεφαλισθῇ, οὐ παντελῶς δι' ὅλου τοῦ ἐγκλήμα-
τος τοῦ φόνου ἐλευθεροῦται. οἷόν τι λέγομεν ἐπὶ τοῦ ἁγίου
ἰωάννου τοῦ βαπτιστοῦ, καὶ ἡρώδου. ὅτε γὰρ καὶ ἀπεκε-
φαλίσθη ὁ ἡρώδης διότι ἀπέκτεινε τὸν βαπτιστήν, οὐκ ἔστι
δ' ἴσον πρὸς θείαν τοῦ κόσμου ἰωάννης, καὶ ἡρώδης. ὁ μὲν
γὰρ θεῖος ἄνθρωπος ἦν, ὁ δ' ἐπίβουλος. ὁμοίως δὲ καὶ ἐπὶ ἄλ-
λων φονέων καὶ φονευομένων διαφορὰ ἀνδρῶν ἐστι νοῆ-
σαι καὶ διακεῖναι καθὰ προειρήκαμεν:~

ἐρώ. Ἐάν τις ἄρχων ἀπὸ θυμοῦ μεθ' ὅρκου πολλῶν δεινὸν πρᾶ-
γμα, εἶτα μετὰ τὸν ὅρκον ἔλθῃ εἰς ἑαυτὸν μεταμεληθεὶ-
ς ὅτι κακὸν ὃ εἶπε, τί ὀφείλει ποιῆσαι:~

ἀπό. Ἐξομολογήσασθαι τῷ θεῷ καὶ καταγνῶναι ἑαυτοῦ προπε-
τείας, καὶ ἀναλῦσαι τὸν ὅρκον. καὶ γὰρ ὁ πέτρος ὁ ἀπόστο-
λος εἰπών, οὐ μή μου νίψῃς τοὺς πόδας εἰς τὸν αἰῶνα.
καὶ ἀναλύσας ὅπερ εἶπεν, ἐπαινεῖται τοῦτο πεποιηκώς.
ἡρώδης δὲ στήσας τὸν ἑαυτοῦ ὅρκον διὰ τὴν τοῦ προδρόμου
κεφαλήν, εἰς αἰῶνας κολάζεται:~

ἐρώ. Ἐάν τις λογίσηταί τι πρᾶγμα, ὡς νομίζειν ἑαυτῷ συμφέρον,
πῶς ὀφείλει περὶ αὐτοῦ αἰτήσασθαι, καὶ θεῷ προσεύξασθαι:~

ἀπό. Καθὼς ἡμᾶς ὁ χριστὸς ἐδίδαξε προσεύχεσθαι καὶ λέγειν πρὸς
θεόν, γενηθήτω τὸ θέλημά σου. καὶ γὰρ τοῦτο παιδεύων ἡ-
μᾶς ὁ κύριος, οὕτω καὶ αὐτὸς προσηύχετο λέγων, πάτερ, μὴ
τὸ ἐμὸν θέλημα γινέσθω, ἀλλὰ τὸ σόν. ἡμεῖς δὲ πολλάκις
οἱ ἄνθρωποι αἰτούμεθα τινὰ παρὰ θεοῦ νομίζοντες ταῦτα ἡμῖν

συμφέρειν, τὸ ἐπιτυγχάνοντα τῶν αἰτημάτων, εὑρισκόμεθα
τὴν τούτων ἔκβασιν πάνυ ἡμᾶς καταβλάψασαν. ὅθεν ὡς
προγνώστης ὁ θεὸς τὰ τέλη τῶν πραγμάτων ἐπιστάμενος, παρα-
κούει τῆς προσευχῆς ἡμῶν πολλάκις ὡς ἀγαθὸς τὸ συμφέ-
ρον ἡμῶν πραγματευόμενος. ὅθεν οὐ καὶ τὸ βιάζεσθαι τὸν
θεὸν ἐν τοῖς αἰτήμασιν ἡμῶν, ἀλλ' ὡς ἐδιδάχθημεν εὔχεσθαι
καὶ ζητεῖν, μὴ τὸ ἡμέτερον, ἀλλὰ τὸ τοῦ θεοῦ θέλημα γενέσθαι.
θέλει γὰρ πάντως σωθῆναι, τὸ παρέχειν ἡμῖν τὰ εἰς σωτηρίαν
ἡμετέραν συντείνοντα:—

Ἐάν τις βουλεύσηται πρᾶγμα ποιῆσαι, πόθεν ὀφείλει ἐπιγνῶ- ἐρώ.
ναι ὅτι ἀρεστόν ἐστιν, ὅπερ ποιῆσαι ἐσκέψατο:—

Ὀλίγων ἐστὶ λίαν ἀνδρῶν, τὸ ἐν πᾶσιν ἀπλανῶς τοῖς ἑαυ- ἀπόκ.
τῶν βουλεύμασιν ἐπίστασθαι, εἰ θεάρεστόν ἐστι τὸ γινόμε-
νον. μέντοιγε ἐκ τῶν ἐν ταῖς θείαις γραφαῖς εἰρημένων τε
τοῖς ἁγίοις πεπραγμένων, τὰ πολλὰ τῶν καθ' ἡμᾶς στοχα-
ζόμεθα, εἰ εἰσὶ θεάρεστα. καὶ τοῦτο δέ τινες ἐπετήρησαν,
ὅτι ὅσα εἰσὶν εὐαπόδεκτα τῷ θεῷ, οὐ μόνον ὁ θεὸς, ἀλλὰ τὰ
πάντα ἡ κτίσις συνεργεῖ καὶ συνέρχεται εἰς αὐτά. ὥσπερ
εἰς τὰ τῷ θεῷ ἀπαρέσκοντα οὐ συνεργεῖ, ἀλλ' ἀντιτάσσεται.
τοῦτο γὰρ ὁ παῦλος ἀπαιτεῖται πᾶς ἄνθρωπος, ἵνα πρὸς θεὸν εὐαρέ-
στως πάντα ὅσα πράττειν βούληται:—

Προειρήκαμεν ἐν τοῖς ἔμπροσθεν, ὅτι ὥσπερ εἰς ὃ καταληφθῇ ἐρώ.
ὁ ἄνθρωπος ἐν τῷ θανάτῳ αὐτοῦ, εἰς αὐτὰ καὶ ἀπέρχεται, εἴτε
ἀγαθοῖς εἴτε κακοῖς. ἐὰν οὖν τις καὶ ἀγαθὰ καὶ πονηρὰ
ποιήσας, καὶ ποιῶν τελευτήσει, λέγε περὶ αὐτοῦ λογίζεσθαι:—

ἀπο. Μόνῳ τῷ ἑνῶσαι τοῦτο. ἐπεὶ οὔτε ἀνθρώπῳ, οὔτε ἀγγέλῳ. εἰσὶ γὰρ τινὰ κακὰ τὰ καλύπτοντα τὰ μικρὰ ἀγαθά· καὶ εἰσὶ τινὰ ἀγαθὰ καλύπτοντα καὶ ἐξαλείφοντα μεγάλα πονηρά. τὰ δ' ἐκεῖνα τὰ ταῦτα, ἄβυσσος πολλή:

ἐρω. Ἔδοξέ τισι μάταιον φροντίζειν, ὅτι οὐδὲν διαφέρει τοῦ κτήνους ὁ ἄνθρωπος. ἀλλ' ὥσπερ ὁ θάνατος τοῦ ἀνθρώπου, οὕτως ἐστὶ καὶ ὁ θάνατος τοῦ κτήνους, μὴ ἔχοντος τινὰ ψυχῆς οὐσίαν ἀθάνατον. καὶ γὰρ φύσει καὶ ὁ ἄνθρωπος καὶ τὸ κτῆνος ὁμοίως θνήσκουσιν, ἐξερχομένου καὶ κινουμένου τοῦ αἵματος αὐτῶν:

ἀπο. Τοῦ αἵματος ἡ φύσις παρὰ μὲν τοῖς ἀλόγοις, οὐσία τίς ἐστι ζωτική, καὶ τῶν λοιπῶν τεσσάρων στοιχείων συστατική, οὗτινος τὸ ζῶον στερούμενον θνήσκει, μηδὲν λοιπὸν ἐκ τῶν τεσσάρων στοιχείων ὠφελούμενον. παρὰ δὲ τῇ καθ' ἡμᾶς φύσει τῇ λογικῇ ἡ τοῦ αἵματος φύσις, σύνδεσμός ἐστι τῆς ψυχῆς καὶ τοῦ σώματος. καὶ ἀφαιρουμένου τοῦ συνδέσμου, ἀνάγκη πάντα καὶ τὰ συνδεδεμένα χωρίζεσθαι:

ἐρω. Καλῶς. φυσικὴ γὰρ ἡ ἀπόδειξις. ὅμως ἐπειδὴ καὶ ζῶα καὶ ἄνθρωποι τελευτῶσι πολλάκις ἄνευ κενώσεως αἵματος, τί ἐστι τὸ παρ' αὐτῶν ἐξερχόμενον καὶ ποιοῦν τὸν θάνατον:

ἀπο. Παρὰ μὲν τοῖς ἀλόγοις, ἡ ζωτικὴ καὶ θρεπτικὴ καὶ θερμαντικὴ καὶ κινητικὴ καὶ αὐξητικὴ τοῦ αἵματος ἡ ἐκπύρωσις, ὑπάρχει ἐνέργεια, ἡ καὶ τὸ ἀναπνεῖν αὐτοῖς παρέχουσα. ὥσπερ γὰρ ὁ λέβης, καὶ τὸ ὑπ' αὐτῷ ὕδωρ ὑπὸ τοῦ πυρὸς καιόμενον, τὸ ἐν αὐτῷ ὕδωρ κινεῖ καὶ βράζει,

παυομένου δὲ τοῦ πυρός, νεκρὸν λοιπὸν καὶ ἀκίνητον καὶ ψυ-
χρὸν τὸ ὕδωρ γίνεται, οὕτω καὶ ἐπὶ τῆς τῶν ἀλόγων φύσεως
καὶ τῆς ζέσεως τοῦ αἵματος γίνεσθαι νόμιζε, καὶ ταύτην εἶναι
αἰτίαν τῆς αὐτῶν ζωῆς. ἐξασθενοῦντος οὖν τοῦ αἵματος, νε-
κρὸν λοιπὸν καὶ ἀκίνητον τὸ κτῆνος ἢ τὸ πετεινόν, ἢ ὁ ἰχθύς,
ἢ τὸ ἑρπετὸν καθίσταται. ἐπὶ δὲ τῆς ἀνθρωπίνης φύσεως, οὐ μόνον
ἡ ζέσις καὶ ἡ θερμότης τοῦ αἵματος τῷ καιρῷ τοῦ θανάτου
χωρίζονται, ἀλλὰ καὶ ψυχαί τε λογικαί τε αὐτοκινοῦσαί τε καί,
ἀθάνατοί τε καὶ νοεραί :-

Τῷ εὐαγγελίῳ μὴ πιστεύοντας Ἕλληνας, καὶ τὰς θείας πάσας ἐρω.
γραφὰς ἀθετίζοντας, πῶς αὐτοὺς πεῖσαι ὀφείλομεν ὅτι ἐστὶ
θεὸς ἄκτιστος, ποιητὴς οὐρανοῦ καὶ γῆς, εἷς καὶ μόνος, καὶ οὐχὶ
πολλοὶ θεοί, ὡς αὐτοὶ πλανώμενοι νομίζουσι :-

Τῶν τὰς θείας γραφὰς μὴ δεχομένων, ἐξ αὐτῆς λοιπὸν τῆς ἀπο.
τῶν πραγμάτων φύσεως περὶ θεογνωσίας πεῖσαι ὀφείλομεν.
ὁρῶμεν γὰρ ἐναντίας οὐσίας ἐν τῇ κτίσει, οὐ κατὰ φύσιν, ἀλλ'
ὑπὲρ φύσιν μετ' ἀλλήλων ὑπαρχούσας. οἷον δὲ λέγω, φύσει
ἡ τῶν ὑδάτων οὐσία ῥευστὴ καὶ κατωφερὴς ὑπάρχει. πῶς
οὖν ὁρῶμεν τοὺς λεγομένους σίφωνας, ἐκ τῆς θαλάσσης ὕ-
δωρ πρὸς τὰς νεφέλας ἀνέλκοντας. τὸ δὲ θαυμασιώτερον, ὅτι
ἁλμυρὰ ἀνερχόμενα, γλυκέα λοιπὸν ταῦτα ἐπὶ τῆς γῆς διὰ
τῶν ὄμβρων κατέρχονται. πῶς δὲ πάλιν ἡ τῶν λίθων καὶ σω-
μάτων φύσις βολιστικὴ κατὰ φύσιν ὑπάρχουσα, ὁρᾶται
ἄδυτος καὶ ἀβόλιστος ἐν τοῖς ὕδασι τῆς Μαρμαρικῆς Πεν-
ταπόλεως. οὐ μόνον δέ, ἀλλὰ γὰρ καὶ ὕδατος καὶ πυρὸς ἐ-

ναντία ἡ φύσις ὑπάρχουσα, ἐν τῷ ἅμα ἡνῶσθαι ἐν λυκίᾳ ἐν τῷ ὄρει τῷ λεγομένῳ ὀλύμπῳ, καθὼς μυριάδες ἀνθρώπων ἑωράκασι. καὶ ἄλλα δὲ μυρία τούτοις ὅμοια καὶ παράδοξα ἔστιν ἐν τῇ κτίσει ὁρώμενα καὶ θαυμαζόμενα, ἅπερ ἅπαντα οὐκ ἂν οὕτως ὑπὲρ φύσιν γίνεσθαι ἔμελλον, εἰ μὴ οὐσία θεότητος ἦν τούτων δεσπόζουσα καὶ τούτοις ἐπιτρέπουσα ἀλλήλοις μὴ ἀντιτάσσεσθαι· πῶς δὲ πάλιν λεγέτωσαν ἡμῖν ἑλλήνων παῖδες, σεισμοῦ τῆς ξηρᾶς γινομένης πάντα ἡ τῶν ἄλλων φύσις τρέμει, φρίττει καὶ δεδίσσεται, μηνύουσα διὰ τοῦ σχήματος ὡς ὑπὸ δεσπότην ἐστὶ τὸν τοὺς σεισμοὺς ἐργαζόμενον. καὶ ταῦτα μὲν πρὸς τοὺς ἀφελεστέρους τῶν ἑλλήνων εἰς θεογνωσίαν φέροντα ὑποδείγματα. πρὸς δὲ τοὺς παρ' αὐτῶν σοφούς, ἐκ φιλοσόφων ἀρχαίων δυνατὸν μαρτυρίαις πολλαῖς περὶ θεοσεβείας χρήσασθαι. οὐ μόνον δὲ θεοσέβειαν τινὲς τῶν ἑλλήνων σοφοὶ ἔφρασαν, ἀλλὰ καὶ τὴν χριστοῦ οἰκονομίαν ἀμυδρῶς προεμήνυσαν. καὶ γοῦν τις τῶν παρ' αὐτοῖς σοφῶν πρὸ πολλῶν τῆς χριστοῦ ἐπιδημίας χρόνων φησίν, ὅτι ἥξει ἡ νεάνις ἔχουσα ἡμῖν θεῖον γόνον. καὶ ἄλλος πάλιν ἔφρασεν οὕτως· ὅτε ποτὲ δὲ ἐπὶ τὴν πολυφθόρον ταύτην κατέρχεται ὁ θεὸς γῆν, καὶ δίχα πλάσματος σὰρξ γενήσεται. ὡς κατάκριτος ἐπὶ ξύλου κρεμασθήσεται, καὶ ἄπαντα πάθη θεραπεύσει :-

ἐρώτ. Χριστιανῶν τε καὶ ἰουδαίων χριστὸν ὁμολογούντων, ἀμφιβαλλόντων δὲ τῶν ἰουδαίων οὔπω αὐτὸν ἐληλυθέναι, ἀλλὰ λεγόντων ὅτι μέλλει ἔρχεσθαι, πόθεν αὐτοὺς πεῖσαι ὁ φιλόχρ-

ὅτι καὶ θεός ἐστιν ὁ Χριστός, καὶ ὅτι ἐλήλυθεν, καὶ ὅτι ἀληθής ἐστι, καὶ
οὐ πλάνος ὡς αὐτοὶ νομίζουσιν :-

Ὅτι μὲν θεὸς καὶ κύριος ὁ Χριστός ἐστιν, οἱ προφῆται μαρτυροῦσιν. ὁ μὲν
δαβὶδ λέγων, θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν. καὶ πάλιν, ἔκλινεν
οὐρανοὺς καὶ κατέβη. καὶ πάλιν, ὁ καθήμενος ἐπὶ τῶν χερου-
βὶμ ἐμφάνηθι. ὁ δὲ ἀμβακοὺμ πάλιν φησίν, ὁ θεὸς ἀπὸ θαι-
μὰν ἥξει. καὶ ὁ ἱερεμίας οὕτως ἔφη, οὗτος ὁ θεὸς ἡμῶν οὐ
λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστή-
μης, καὶ ἔδωκεν αὐτὴν ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ ἰσραὴλ τῷ ἠγα-
πημένῳ ὑπ' αὐτοῦ. μετὰ δὲ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς
ἀνθρώποις συνανεστράφη. ἰδοὺ πῶς προφανῶς οἱ προφῆται θεὸν
λέγουσι τὸν Χριστόν. ὅτι δὲ ἐλήλυθεν ἤδη ὁ Χριστός, δανιὴλ ὁ προφήτης
τὸν χρόνον τῆς παρουσίας αὐτοῦ σημαίνων, οὕτω φησί, μᾶλ-
λον δὲ πρὸς αὐτὸν ὁ ἀρχάγγελος γαβριήλ. ἑβδομήκοντα
ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν
πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφρα-
γίσαι ἁμαρτίας. καὶ μετὰ βραχέα. καὶ τοῦ σφραγίσαι ὅρα-
σιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. τίς οὖν ἐστιν ὁ
χρισθεὶς ἅγιος ἁγίων, εἰ μὴ ὁ Χριστὸς μόνον, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶν-
τος. αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες, τετρακόσια ἐνενή-
κοντα ἔτη σημαίνουσιν. ἀπὸ δὲ τοῦ δανιὴλ ἕως τοῦ νῦν,
ὑπάρχουσιν ἔτη χιλίων ὀκτακοσίων πλείω. δειξάτωσαν λοιπὸν
ἡμῖν οἱ ἰουδαῖοι, τίς παρ' αὐτοῖς ἐχρίσθη ἅγιος ἁγίων μετὰ
τετρακόσια ἐνενήκοντα ἔτη τοῦ δανιὴλ καὶ κατήργησε τὴν θυ-
σίαν καὶ τὴν σπονδὴν τὴν νομικήν. ἀλλ' οὐκ ἔχουσι δεῖξαι τίς

ἀπόδειξις ὅτι θεὸς καὶ θεοῦ υἱός ἐστιν ὁ Χριστός. καὶ ὅτι ἤδη ἦλθε καὶ μέλλει, καθὼς οἱ ἰουδαίων παῖδες ληροῦσιν :-

ἀποκρ.

τοῦτο ἐποίησεν, εἰμὴ ἵνα δοξ, ὁ γὸς τοῦ θυ. ὅτε δ' ἀληθῶς
καὶ οὐ πλάνος ὀχς ὡς ὑμεῖς νομίζετε ὦ ἰουδαῖοι, πρὸ
σωμεν ὑμῖν τοῦτο, οὐδὲ ἐξ ἐμαυτῶν, ἀλλὰ διὰ τε τῶν ἐμῶν
μέσει τοῦ νῦν κεκλῆσθαι καὶ μαρτυρούντων τὸ πάσχ τὴ
οἰκουμένη, καὶ ὅτε παῖδα τὰ ὑπ' αὐτοῦ λεχθέντα τελέσαντα.
εἶπε γὰρ, ὁ ὁπὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου ο
οὐ μὴ παρέλθωσι. ποῖοι δὲ λόγοι, νοῦν ἔχοῦς ἀκούσωμεν.
εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ, ὅτε ἀμὴν λέγω ὑμῖν, οὐ μὴ
μίαν λίθος ἐπὶ λίθον ἐπ' αὐτῷ, ὃς οὐ μὴ καταλυθήσεται.
ἆρα γέγονεν αὐτὸ λόγος, ἢ οὐ γέγονεν; εἶπον ὅτε ἐγὼ
οὖσα οἱ ζωμποὶ καὶ ἀεὶ σὺν ὑμῖν τὸ ἔθνος καὶ τὴν πό
λιν καὶ τὸ βασίλειον. ἆρα γέγονε τοῦτο ἐπὶ ἰουδαστα
νοῦ καὶ τέλει, ἢ οὐ γέγονεν; εἶπον ὅτε ὀνόμος καὶ οἱ προφή
ται ἕως ἰωάννου τοῦ βαπτιστοῦ, καὶ πάντα. ἆρα οὐ γέ
γονε τοῦτο; ἵνα προφήτης παρ' ὑμῖν μετὰ ἰωάννην τὸν βα
πτιστὴν, ὥστε λοιπὸν ὅτε οὐδείς. εἶπε πάλιν ὁ αὐτὸς κς ἡμῶν
καὶ θς ἰς χς, ὅτε κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ
κόσμῳ. ἆρα γέγονεν οὕτως, ἢ οὔ; πάλιν εἶπεν, ὅτε πύλαι
ᾅδου οὐ κατισχύσουσι αὐτῆς, τ' ἐκκλησίας δηλονότι.
ἆρα ἐφάνη τοῦτο; εἶπεν ἡμῖν εἰς ἐκ αὐτὸν πιστεύσαν, ὅτε
ἐσεσθε μεμισημένοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ἆρα
ὑμεῖς εἰπατε, εἰμὴ διὰ τὸ ὄνομα τοῦτο πάντα ὑμᾶς τὰ
ἔθνη μισεῖ καὶ τοῦτο ἔχει. καὶ πῶς ὑμεῖς ἔχετε πάντα
σωπτοῦντα, οἱ λοιποὶ κεκέχυται. καὶ αὐτὴ δὲ τὸ τέλειο
λων ἡ ἀλήθεια, ἵνα ὡς σὺ γένῃ καὶ καθημένη ὑμᾶς δι

νάσαι, καὶ ἀκούσας πεῖσαι ὅτι χριστὸς ὁ θεὸς ἐμφανῶς ἦλθε,
καὶ ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἔκλι
νεν οὐρανοὺς καὶ κατέβη, καὶ ἐπέβη εἶθ' οὕτως ἐπὶ χερουβὶμ
καὶ ἐπετάσθη, καὶ ἀνέβη εἰς οὐρανοὺς ἐν ἀλαλαγμῷ ὡς θεός.
ἵνα τελείως τῆς ἰουδαϊκῆς καταγνῶμεν πωρώσεως,
λοιπὸν δὲ καὶ ἡμεῖς οἱ πιστοὶ βεβαιότεροι ἐν τῇ χριστοῦ πίστει γι
νόμεθα, φέρε διὰ βραχέων περὶ πάσης τῆς χριστοῦ οἰκονομίας,
καὶ ὑπὲρ τῆς τοῦ εὐαγγελίου ἀπολογίας ἐκ τῆς παλαιᾶς δια
θήκης τὰς μαρτυρίας ποιησόμεθα. ἔσται δὲ πᾶσι τοῖς ἀνα
γινώσκουσιν ἐντεῦθεν, οὐχ ἡ τυχοῦσα ὠφέλεια, ὅτι προαι
ώνιος ὁ υἱὸς καὶ λόγος, ὁ ἐπ' ἐσχάτων σαρκωθείς, ἐκ τοῦ ἑκα
τοστοῦ ἐννάτου ψαλμοῦ ἀκούσωμεν· ἐκ γαστρὸς πρὸ ἑωσφό
ρου ἐγέννησά σε. εὔδηλον δὲ ὅτι οὐδεὶς ἀνθρώπων πρὸ ἑω-
σφόρου ἐγεννήθη. ὁ γὰρ ἑωσφόρος τῇ τετάρτῃ ἡμέρᾳ ἐγέ
νετο, ὁ δὲ ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη. ὡσαύτως δὲ καὶ
ὁ σολομὼν περὶ τῆς πρὸ αἰώνων ἐκ τοῦ θεοῦ καὶ πατρὸς γεννήσεως
τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, οὕτω φησὶν
ὡς ἐκ προσώπου αὐτοῦ τοῦ υἱοῦ τοῦ θεοῦ. πρὸ τοῦ ὄρη γενέσθαι,
πρὸ τοῦ τὰς πηγὰς διελθεῖν. πρὸ δὲ πάντων τῶν βουνῶν
γεννᾷ με. ἐρωτητέον οὖν λοιπὸν τὸν ἰουδαῖον τίνα πρὸ
πάσης τῆς κτίσεως ἐγέννησεν ὁ θεός. ὁμοίως δὲ καὶ τὸ εἰπεῖν
τὸν θεὸν περὶ τοῦ ἀδάμ, ὅτι ἰδοὺ γέγονεν ἀδὰμ ὡς εἷς ἐξ
ἡμῶν, πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον δηλοῖ. ὅτι δὲ ἐνανθρω
πῆσαι καὶ σαρκωθῆναι ἐπ' ἐσχάτων ἡμερῶν ἔμελλεν ὁ θεὸς
λόγος, ἀκούσωμεν τῶν προφητῶν λεγόντων. τοῦ μὲν προφήτου

δαδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου θεὸς κύριος καὶ
ἐπέφανεν ἡμῖν. καὶ πάλιν, ὁ θεὸς ἐμφανῶς ἥξει. τοῦ προ-
φήτου ἡσαΐου. οὐκ ἄγγελος οὐδὲ πρέσβυς, ἀλλ' αὐτὸς ὁ κύριος
ἥξει καὶ σώσει ἡμᾶς. τότε ὀφθαλμοὶ τυφλῶν ἀνοιχθήσονται,
καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. τότε ὁ χωλὸς ὡς ἔλα-
φος ἀλεῖται. ὅτι δ' ἐκ τῆς ἁγίας παρθένου γεννᾶσθαι ὁ χριστὸς ἔ-
μελλεν, ἡσαΐου τοῦ προφήτου πάλιν ἀκούσωμεν λέγοντος. ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ
ὄνομα αὐτοῦ ἐμμανουήλ. καὶ πάλιν ὁ αὐτός, ὅτι παιδίον
ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. καὶ καλεῖται τὸ ὄνομα
αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρ-
χων εἰρήνης. πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὅτι δὲ καὶ τό, ποῦ
μέλλει ἐπὶ γῆς σαρκοῦσθαι ὁ χριστός, τουτέστιν ἐν ναζαρέτ, ὁ αὐ-
τὸς λέγει προφήτης. γῆ ζαβουλών, καὶ γῆ νεφθαλείμ, ὁδὸν
θαλάσσης πέραν τοῦ ἰορδάνου, γαλιλαία τῶν ἐθνῶν. ὁ λαὸς
ὁ καθήμενος ἐν σκότει, ἴδε φῶς μέγα. πρόδηλον δ' ὅτι τῶν
ἐθνῶν ὁ λαὸς ἐκάθητο ἐν σκότει ἀγνωσίας καὶ πλάνης
καὶ εἰδωλολατρείας, διὸ καὶ ὁ δαδ δεικνύς, ὅτι διὰ τὰ ἔ-
θνη ὁ θεὸς σαρκοῦσθαι ἔμελλεν, ἔλεγεν. ἐβασίλευσεν ὁ θεὸς
ἐπὶ τὰ ἔθνη. καὶ πάλιν ὁ αὐτὸς προφήτης ὡς ἐκ προσώπου
τοῦ πατρὸς πρὸς τὸν υἱὸν φησίν. αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι
ἔθνη τὴν κληρονομίαν σου. διὸ πάντα τὰ ἔθνη κροτήσατε χεῖ-
ρας. καὶ πάλιν, πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ
προσκυνήσουσιν ἐνώπιόν σου κύριε, καὶ δοξάσουσι τὸ ὄνο-
μά σου εἰς τὸν αἰῶνα. ὅτι δ' ἐν βηθλεὲμ ἤμελλε γεννᾶσθαι

οἶκος ἄρτου, ἔμελλε γεννᾶσθαι ὁ ἄρτος τῆς ζωῆς, καὶ ὅτι
προαιώνιος ἐστὶν ἡ ἐκ πρς αὐτοῦ γέννησις, ἀκούομεν τοῦ
προφήτου μιχαίου λέγοντος· καὶ σὺ βηθλεὲμ οἶκος τοῦ ἐ-
φραθά, μὴ ὀλίγοστος εἶ τοῦ εἶναι ἐν χιλιάσιν ἰούδα, ἐξ οὗ
μοι ἐξελεύσεται τοῦ εἶναι ἐν χιλιάσιν εἰς ἄρχοντα ἐν ἰσλ,
καὶ αἱ ἔξοδοι αὐτοῦ, ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος· ὅτι δ'
ἐν σιὼν ἔμελλε φανερωθῆναι ὁ χς, καὶ ὅτι ὕψιστος ἐστὶν ὁ χς
ὁ υἱὸς τοῦ θῦ, ὁ προφήτης δαδ ἐν τῷ ὀγδοηκοστῷ ἕκτῳ ψαλ-
μῷ οὕτω προφητεύσας εἶπε· μὴρ σιὼν ἐρεῖ ἄνος, καὶ ἄνος
ἐγεννήθη ἐν αὐτῇ· καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος·
ὡς ἐκ τούτου ὕψιστος ἐστὶν ὁ χς ὁ υἱὸς τοῦ θῦ· ὅτι δ' τεχθεὶς ὁ χς
ἔμελλε μετὰ τῆς ἰδίας μρς τῆς πτηνικῆς νεφέλης ἔρχεσθαι
εἰς αἴγυπτον, ἠσαΐου τοῦ προφήτου ἀκούομεν λέγοντος·
ἰδοὺ κς κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς αἴγυπτον,
καὶ σεισθήσεται τὰ χειροποίητα αἰγύπτου· ὅτι δ' βαπτι-
ζομένου τοῦ χῦ ἔμελλεν ὁ πὴρ ἄνωθεν αὐτὸν μαρτυρεῖν,
ἐν εἰκοστῷ ὀγδόῳ ψαλμῷ γέγραπται οὕτως· φωνὴ κυ ἐπὶ
τῶν ὑδάτων, ὁ θς τῆς δόξης ἐβρόντησε κς ἐπὶ ὑδάτων πολ-
λῶν. εἶτα περὶ τῶν θαυμάτων καὶ ἰάσεων, ὧν ὁ χς ὁ θς ἡ-
μῶν ἐποίησεν, ἠσαΐας προφητεύσας εἶπ· αὐτὸς τὰς ἀσθε-
νείας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασε, καὶ περὶ ἡμῶν ὀδυ-
νᾶται· ὅτι δ' εἰρηνεῦσαι τὸν κόσμον ἦλθεν ὁ χς, ἀκούομεν
τοῦ ἑβδομηκοστοῦ πρώτου ψαλμοῦ· καταβήσεται ὡς ὑε-
τὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν· ἀνα-
τελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρή-

νης, ἕως οὗ ἂν ἀνταναιρεθῇ ἡ σελήνη, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. κἂν γὰρ εἴπῃ ὁ ἰουδαῖος, ὅτι περὶ σολομῶντος λέγει ὁ ψαλμός, ψεύδεται. περὶ ὧν γὰρ ὁ ψαλμὸς λέγει, πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ, καὶ πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. ταῦτα δὲ οὐ δυνατὸν εἰς σολομῶντα λέγεσθαι, οὐ γὰρ ἦν οὗτος πρὸ ἡλίου. ὅτι δὲ καὶ διὰ βαπτίσματος ἔμελλεν ὁ χριστὸς καὶ θεὸς ἡμῶν καταργεῖν τὸν διάβολον, ὁ ἑβδομηκοστὸς τρίτος μαρτυρεῖ ψαλμός, λέγων πρὸς τὸν θεὸν οὕτως. σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. σὺ συνέτριψας τὴν κεφαλὴν τοῦ δράκοντος. ὅτι δὲ ποιητὴς οὐρανοῦ ὁ χριστός ἐστιν ὁ ἐν θαλάσσῃ περιπατήσας, τοῦ ἰὼβ ἀκούσωμεν λέγοντος οὕτως. ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ᾽ ἐδάφους. περὶ δὲ τοῦ πώλου καὶ τῆς ὄνου ἐφ᾽ ὧν ὁ χριστὸς ἐπεκάθισεν, ἀκούσωμεν τοῦ προφήτου ζαχαρίου λέγοντος. χαῖρε σφόδρα θύγατερ σιών. κήρυσσε θύγατερ ἱερουσαλήμ. ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. εἰ τοίνυν τῶν προφητικῶν τούτων φωνῶν ἠκηκόεσαν, ἀλλ᾽ ὅμως καὶ παρὰ τούτων τρανῶς περὶ τοῦ χριστοῦ τῶν προφητῶν προφητευσάντων, ἀπετύφλωσεν ὁ σατανᾶς τὰ τῶν ἰουδαίων ὄμματα, καὶ ἐπώρωσε τὰς τῶν ψυχῶν αὐτῶν ἀκοάς, ἵνα τὰς τοιαύτας μαρτυρίας παρακούσωσιν. ἀκούσωμεν οὖν καὶ περὶ τῶν παίδων τῶν ἑβραίων

το, ὡσαννὰ βοησάντων, καὶ τὸν αὐτὸν ἐπικροτούντων. Κύριε ὁ κύριος
ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρ-
θη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. ἐκ στόματος
νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. περὶ δὲ τοῦ ἰού-
δα τῆς προδοσίας, ψαλμὸς τεσσαρακοστὸς λέγει. ὁ ἐσθίων
ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. περὶ δὲ ἰου-
δαίων καὶ ἐθνῶν ἐπιβουλὴν τὴν κατὰ τοῦ χριστοῦ, ὁ δεύτερος
λέγει ψαλμός. ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν
κενά. παρέστησαν οἱ βασιλεῖς τῆς γῆς. πιλᾶτος καὶ ἡρώδης.
καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ κυρίου καὶ κατὰ
τοῦ χριστοῦ αὐτοῦ. ἤγουν ὁ ἄννας καὶ καϊάφας, καὶ οἱ ἀρχιε-
ρεῖς καὶ οἱ γραμματεῖς. οἱ γὰρ πολεμοῦντες τὸν υἱόν, ὑβρίζουσι
τὸν πατέρα. περὶ δὲ τῶν δεσμῶν ὧν ἔδησαν τὸν χριστόν, λέγει ταλα-
νίζων τοὺς ἰουδαίους ἠσαΐας ὁ προφήτης. οὐαὶ τῇ ψυχῇ
αὐτῶν, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν λέ-
γοντες, δήσωμεν τὸν δίκαιον. ἐρώτησον λοιπὸν τὸν ἰουδαῖον
καὶ εἰπὲ αὐτῷ, ὅτι τίς ἀνθρώπων ἐπὶ τῆς ἀναμάρτητος, εὔδη-
λον ὅτι οὐδείς. λέγει γὰρ προφανῶς ἡ γραφή, ὅτι οὐδεὶς
καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μίαν ἡμέραν ἡ ζωὴ αὐτοῦ
ἐπὶ τῆς γῆς. καὶ πάλιν φησὶν ὁ προφήτης πρὸς τὸν θεόν, μὴ εἰ-
σέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθή-
σεται ἐνώπιόν σου πᾶς ζῶν. ὥστε φανερῶς διδασκόμε-
θα, ὅτι οὐδεὶς ἀναμάρτητος εἰ μὴ μόνος ὁ θεός. ἴδωμεν οὖν
λοιπὸν τί ὁ προφήτης ἠσαΐας διαλέγεται ἡμῖν διὰ τοῦ πά-
θους τοῦ ἀναμαρτήτου χριστοῦ τοῦ θεοῦ ἡμῶν, τοῦ υἱοῦ τοῦ θεοῦ. ὡς

πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος
αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. δῆλον δὲ ὅτι
ἑκουσίως πάσχει, πλεῖστα προειπάμενος ἐπὶ τοῦ πάθους αὐτοῦ.
ἐν τῇ ταπεινώσει αὐτοῦ, ἡ κρίσις ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς
διηγήσεται. τουτέστι τὴν προαιώνιον αὐτοῦ γέννησιν. καὶ τὰ
κατὰ σάρκα γενεαλογεῖται χριστὸς ὁ θεός. ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ ἤ-
χθη εἰς θάνατον. προδήλως δὲ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ κόσμου
χριστὸς ἀπέθανε. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ.
δηλονότι τοὺς ἰουδαίους παρέδωκε τοῖς ῥωμαίοις, καὶ τοὺς
πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. διατί ὦ προφῆτα εἰπὲ
ἡμῖν τίνος χάριν, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέ-
θη δόλος ἐν τῷ στόματι αὐτοῦ. τί πρὸς τοῦτο ἔλεγον οἱ ἰου-
δαῖοι. τίς οὗτος ὡς πρόβατον ἤχθη ἐπὶ σφαγὴν, ἁμαρτίαν
ἰ. λέξαι μὴ ποιήσας. ἀλλ' οὐκ ἔγνωσαν αὐτὸν ἀναμάρτητον, εἰ μὴ μό-
νον τὸν θεὸν τὸν γινόμενον αὐτόν. ἀκούσωμεν δὲ καὶ περὶ τῶν ψευ-
δομαρτυρησάντων ἐν ψαλμῷ λέγοντος. ἀναστάντες μοι μάρτυρες
ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. ἀνταπεδίδοσάν μοι
πονηρὰ ἀντὶ ἀγαθῶν. δηλονότι ὧν ὁ χριστὸς ἐν τῷ λαῷ αὐτῶν
πεποίηκε. πρῶτον μὲν, τὴν ἔξοδον αὐτῶν τὴν ἐξ αἰγύπτου,
καὶ τὰ λοιπὰ μυρία ἀγαθὰ, ἃ εἰς αὐτοὺς εἰργάσατο. ἔπειτα
δὲ καὶ τοὺς νοσοῦντας αὐτῶν ἰασάμενος. περὶ δὲ τῶν μαστιγω-
σάντων καὶ ἐμπτυσάντων τὸν χριστὸν, ἠσαΐας ὁ προφήτης ὡς ἐκ προ-
σώπου τοῦ χριστοῦ οὕτως ἔφη. τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας,
καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου
οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὁμοίως δὲ

καὶ ὁ προφήτης Δαβὶδ ἐκ προσώπου τοῦ Χριστοῦ, ἐν τῷ τριακοστῷ ἑ-
βδόμῳ ψαλμῷ λέγει· ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλ-
γηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός. περὶ δὲ τῆς πράσεως
τοῦ Χριστοῦ λέγει Ἱερεμίας ὁ προφήτης· καὶ ἔλαβον τὰ τριάκοντα
ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν
Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ
συνέταξέ μοι Κύριος. θεωρεῖτε τοῦτο τὸ [illegible]
[illegible], ὅπερ πρὸ ὀφθαλμῶν παντὸς τοῦ κόσμου πρόκειται,
ἐκ τότε καὶ μέχρι τοῦ νῦν, λέγω δὴ ὁ ἀγρὸς τοῦ κεραμέως
εἰς ταφὴν τοῖς ξένοις; ὡσαύτως δὲ καὶ Ζαχαρίας ὁ προφή-
της λέγει περὶ τῶν τριάκοντα ἀργυρίων ὡς ἐκ προσώπου τοῦ
Χριστοῦ. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίους. ὅτι δὲ
τὴν ἀρχὴν τῆς σωτηρίας ἡμῶν, ἤγουν τὸν τίμιον σταυρὸν ἐν τοῖς ἰδί-
οις ὤμοις ἐβάστασεν ὁ Χριστὸς ὑψωθεὶς ἐν αὐτῷ, Ἡσαΐας προεφή-
τευσε λέγων· ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡ-
μῖν· οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. τουτέστιν ὁ ζωοποιὸς
σταυρός. περὶ δὲ τοῦ ἀκανθίνου στεφάνου γέγραπται ἐν τῷ ᾄ-
σματι τῶν ᾀσμάτων· θυγατέρες Ἱερουσαλὴμ ἐξέλθετε καὶ ἴδετε
τὸν στέφανον ὃν ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. τὴν συναγω-
γὴν τῶν Ἰουδαίων φησί. μήτηρ γὰρ αὐτὴ Χριστοῦ κατὰ σάρκα νοεῖται
ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης
καρδίας αὐτοῦ. πρόδηλον ὅτι ἡ ἡμέρα τοῦ Χριστοῦ, ἡ ἡμέρα τῆς εὐ-
φροσύνης αὐτοῦ διὰ τὴν σωτηρίαν ἡμῶν. ὥσπερ γὰρ ἄκανθαι [illegible],
οὕτως ὑπῆρχον αἱ ἁμαρτίαι τοῦ κόσμου, ἅστινας [illegible] ὁ Χριστὸς
ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐξήλειψε.

καὶ καθάπερ διὰ τοῦ καρποῦ τοῦ ξύλου ἡ ἁμαρτία, οὕτως διὰ τοῦ ξύλου τοῦ σταυροῦ ἡ σωτηρία. καὶ διὰ τοῦτο ἐν κήπῳ τὸ πάθος τοῦ Χριστοῦ γέγονεν, ἐπειδὴ ἐν παραδείσῳ παρέβη ὁ Ἀδάμ, διὸ καὶ τῷ λῃστῇ ὁ παράδεισος ἀπὸ τοῦ σταυροῦ ἀνοίγεται. διὰ τοῦτο δὲ καὶ ἕκτῃ ὥρᾳ ὁ Χριστὸς σταυροῦται, ἐπειδὴ τὸ δειλινὸν ὁ Ἀδὰμ ἔξω ἐώσθη, καὶ χολῆς δὲ ποτίζεται, ἵνα τὴν γλυκύτητα τὴν πικρὰν τῆς ἡδονῆς τοῦ Ἀδὰμ ἰάσηται. ῥαπίζεται, ἵνα ἐμοὶ τὴν ἐλευθερίαν χαρίσηται. φραγελοῦται, ἵνα τὸ ἐπὶ τῶν νώτων ἡμῶν φορτίον τῶν ἁμαρτημάτων σκορπίσῃ. γυμνοῦται ἐν ξύλῳ, ἵνα τὴν ἐμὴν αἰσχύνην σκεπάσῃ. θανατοῦται, ἵνα ἐμὲ ζωοποιήσῃ. κατακρίνεται, ἵνα ἐμὲ τῆς κατάρας ἀπολύσῃ. καλάμῳ τὴν κεφαλὴν τύπτεται, ἵνα τὴν τοῦ ὄφεως κεφαλὴν συντρίψῃ. λόγχῃ τὴν πλευρὰν νύττεται, ἵνα τὴν ἐκ πλευρᾶς τοῦ Ἀδὰμ κτισθεῖσαν γυναῖκα θεραπεύσῃ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν καθ᾽ ἡμῶν στρεφομένην παύσῃ, καὶ τὴν ὁδὸν ἡμῖν τοῦ παραδείσου ἀνοίξῃ. ὅτι δὲ ἐν μέσῳ τῆς γῆς ἔμελλεν ὁ Χριστὸς σταυροῦσθαι, ἐν τῷ ἑβδομηκοστῷ τρίτῳ ψαλμῷ λέγεται. ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. ὅτι δὲ μετὰ λῃστῶν ἔμελλεν ὁ Χριστὸς σταυροῦσθαι, Ἡσαΐας ὁ προφήτης φησί. Καὶ μετὰ ἀνόμων ἐλογίσθη ὁ δίκαιος. περὶ δὲ τῶν ἥλων καὶ τοῦ διαμερισμοῦ τῶν ἱματίων, ὁ εἰκοστὸς πρῶτος ψαλμὸς φησίν. ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ ὁ προφήτης Ζαχαρίας ἔφη. καὶ ἔρθοσ

πρὸς αὐτόν, τί αἱ πληγαὶ αὗται ἐν μέσῳ τῶν χειρῶν σου; τὸ-
ἐρεῖ, ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου. περὶ δὲ τοῦ συ-
σκοτασμοῦ ὁ αὐτὸς προφήτης ζαχαρίας λέγει· καὶ ἔσται
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κς, δύσεται ὁ ἥλιος μεσημβρίας,
καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. καὶ ἰωὴλ δὲ
ὁ προφήτης λέγει· ὁ ἥλιος καὶ ἡ σελήνη σκοτάσουσι, καὶ οἱ ἀστέ-
ρες δύσουσι τὸ φέγγος αὐτῶν, καὶ κς δώσει φωνὴν αὐτοῦ.
ὅτι δὲ ἔμελλον ὄξος καὶ χολὴν ποτίζειν αὐτόν, ψαλμὸς ἑξη-
κοστὸς ὄγδοος οὕτω λέγει· ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν,
καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. διὸ καὶ καταρᾶ-
ται αὐτοὺς λέγων· γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐ-
τῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον,
καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ ὡς ἐπὶ κατάρας λεγόμενα τοῖς
ἰουδαίοις ἁρμόζει, οὓς καὶ ὁ μωϋσῆς προονειδίσας εἶ-
πεν· καὶ ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλ-
μῶν σου, καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτός, καὶ οὐ πιστεύ-
σεις τῇ ζωῇ σου. περὶ δὲ τῆς λόγχης λέγει ζαχαρίας ὁ προφή-
της· καὶ ἐπιβλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν. περὶ
δὲ τοῦ ὕδατος τοῦ αἵματος αὐτοῦ τῆς πλευρᾶς [?] ὁ αὐτὸς προφήτης
λέγει· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ ἱλήμ.
ἀκούσωμεν δὲ καὶ τοῦ προφήτου ἡσαΐου περὶ τῆς ταφῆς τοῦ
κυ λέγοντος, καὶ πῶς διελέγχει [?] τοὺς ἰουδαίους. ἴδετε ὡς
ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, ἢ
γνοὺς [?] τὴν αὐτοῦ ἀνάστασιν. καὶ πάλιν ἀπὸ προσώπου ἀδι-
κίας ἦρται ὁ δίκαιος, καὶ ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ. εἰρη-

νην δὲ λέγει, ὅτι ὁ Πιλάτος μετ' εἰρήνης ἀπέδωκε τὸ σῶμα τοῦ
κυρίου ἡμῶν τῷ Ἰωσήφ. ὁμοίως δὲ καὶ ὁ προφήτης διαγράφει τὴν τα-
φὴν αὐτοῦ ἐν τῷ πη' ψαλμῷ, λέγει ὡς ἐκ προσώπου τοῦ χριστοῦ.
ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ-
θανάτου. καὶ πρὸ τούτων, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος,
ἐν νεκροῖς ἐλεύθερος. ἤγουν ἀναμάρτητος. γέγραπται γὰρ
καὶ ἐν τῷ Ἰὼβ οὕτως. ἀνοίγονταί σοι φόβῳ πύλαι θανάτου,
πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν. δηλονότι αἱ ἐναντίαι
τῶν δαιμόνων δυνάμεις. ὁμοίως δὲ καὶ ἐν τῷ ξζ' ψαλμῷ
οὕτως γέγραπται. ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ. ὁ-
μοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τά-
φοις. ὅτι δὲ ὁ χριστὸς ἐν τῷ ᾅδῃ ἀπομένειν οὐκ ἔμελλεν, ἀλλὰ
τριήμερος ἀνίστασθαι, ψαλμοῦ πεντεκαιδεκάτου ἀκούσωμεν.
ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις
τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. καὶ ὁ προφήτης δὲ ὡσηὲ οὕ-
τως εἶπε. πορευθῶμεν καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν
ἡμῶν, ὅτι αὐτὸς πεποίηκεν ἡμᾶς, καὶ αὐτὸς ἰάσεται ἡμᾶς.
μετὰ δύο ἡμέρας ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμεθα καὶ ζη-
σόμεθα. περὶ δὲ τῶν μυροφόρων γυναικῶν ἡσαΐας εἶπεν ὁ
προφήτης. γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε, οὐ γὰρ λα-
ός ἐστιν ἔχων σύνεσιν. περὶ δὲ τῆς ἀναλήψεως τοῦ χριστοῦ ἐν ἑπτα-
καιδεκάτῳ ψαλμῷ γέγραπται. καὶ ἐπέβη ἐπὶ χερου-
βὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. καὶ
πάλιν ἐν τῷ μς' ψαλμῷ. ἀνέβη ὁ θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν
φωνῇ σάλπιγγος. καὶ ἐν ζαχαρίᾳ τῷ προφήτῃ. ἐν τῇ ἡμέρᾳ

ἐκείνη τῇ ὥρᾳ οἱ πόδες αὐτοῦ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ
πρὸ τῆς ἐξαναβλῶν. περὶ δὲ τῆς ἐνδόξου παρουσίας
αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ προφήτης. ἐθεώρουν
ἐν ὁράσει τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ
ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμε-
ρῶν ἔφασε, καὶ παρεγένετο αὐτῷ, καὶ αὐτῷ ἐδόθη ἀ-
ρχὴ καὶ τιμὴ καὶ βασιλεία, καὶ πάντες λαοί, φυλαὶ,
γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ, ἐξουσία
αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ βασιλεία αὐτοῦ οὐ μὴ
φθαρήσεται. ἰδοὺ σαφῶς σὺν τῶν εἰρημένων ἐμάθομεν,
ὅτι αὐτός ἐστιν ὁ ἥξων, ὁ υἱὸς τοῦ θεοῦ ὁ σαρκωθεὶς καὶ παθὼν
δι' ἡμᾶς. καὶ ἀναστὰς ἐκ νεκρῶν. καὶ ἀναληφθεὶς εἰς οὐ-
ρανοὺς καὶ καθεσθεὶς ἐκ δεξιῶν τοῦ πατρὸς αὐτοῦ. καὶ μέλλων ἔρχεσθαι μετὰ τῶν νε-
φελῶν τοῦ οὐρανοῦ, μετὰ δόξης οὐρανίου κρίνων ζῶντας
καὶ νεκρούς· προεῖπε γὰρ ὁ αὐτὸς προφήτης Δανιὴλ ὁ
περὶ τούτου οὕτως· ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν,
καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ
λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡς ἔριον
καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς εἵλκυεν ἐκπορευ-
όμενον αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι
μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, τὰ
βιβλία ἠνεῴχθησαν. ἐθεώρουν οὖν τότε ἀπὸ φωνῆς τῶν λό-
γων τῶν μεγάλων, οὓς τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως οὗ ἀ-
πηρθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη
εἰς καῦσιν πυρός. τὸ δὲ λοιπὸν τοῦ θηρίου ἀφῄρηται

στος ἐστιν. ὁ ὄντως υἱὸς τοῦ θεοῦ ἐρχόμενος, ἀνελεῖ αὐτὸν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:

Εὐχὴ τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου:

Ἁμαρτίαις μὲν, εἰς ἀπόγνωσιν βλέπω.
Σκοπῶν δὲ λῃστὴν καὶ Μανασσῆν καὶ Πέτρον,
πόρνην τελώνην. οὓς σέσωκας Χριστέ μου.
Κἀγὼ πέποιθα τοῦ τυχεῖν σωτηρίας.
Καὶ μὴ σβέσῃς φῶς ἐλπίδων τῶν πρὸς σέ μου.
μητρὸς λιταῖς σῆς, ἣν μεσίτην φέρω.
σταυρὸν λυπῶν ἔξειμι πρὸς πάθων πεῖθον,
ἣν εὐμαρείζων, εὐοδοίης Χριστέ μου:

Στίχοι οὓς λέγεται ἀκηκοέναι παρὰ τοῦ θεολόγου Γρηγορίου:

Ὀρθὰς φύλασσε τοῦ νόος σου τὰς φρένας.
Καὶ κοιλίαν δάμαζε καὶ γλῶσσαν πλέον.
Καὶ τὴν στενὴν δίωκε τοῦ βίου πύλην.
Καὶ φεῦγε κόσμον, καὶ νέος γενοῦ γέρων:

Τοῦ αὐτοῦ ἀλφαβητὸς ἰαμβικός:

Ἄνω πτέρωσον πρὸς θεὸν τὰς φρένας.
Βίον πόθησον ἔνθεν ἠγλαϊσμένον.
Γαίαν βαδίζων, μὴ τὰ τῆς γαίας φρόνει.
Δίδου πένησι χεῖρα κειμένοις κάτω.
Ἔργων φέριστον ἠγαπημένον πόθει.

Ζήτει τὰ τερπνὰ τῶν ἐκεῖθεν ἐλπίδων.
Ἡ γλῶσσα φαύλου, μήποτε ψεῦδος λέγει.
Θήρα διακούειν μὴ γλώσσης τῶν δαιμόνων.
Ἴχνη βεβήλων, μηδαμῶς ὁδοιπόρει.
Κλαῦσον στέναξον δάκρυσι πλῦνον ῥύπον.
Λόγους σοφιστῶν τίμα καὶ σοφὸς ἔσῃ.
Μὴ τοὺς ἐπαίνους, ἀλλὰ τοὺς ψόγους φίλει.
Ναὸν σεαυτὸν τεῦξον ἡγιασμένον.
Ξένους ξένιζε καὶ ξενοπρεπῶς τρέφε.
Ὅρκους βδελύσσου ψυχικοὺς ὀλεστάτας.
Πλοῦτόν τε μίσει καὶ τὰ τερπνὰ τοῦ βίου.
Ῥευστὸν τὸν κόσμον, ὡς ἀραχνώδη νόει.
Σαρκὸς πόνοις πόνημα τῆξον εὐθέως.
Τὰ δ' ὅπλα φωτός, ἀντὶ πορφύρας φόρει.
Ὑψῶν ἑαυτόν, μὴ πέσῃς μετάβλεπε.
Φόβῳ θεοῦ, κλῖνον τὸν σὸν αὐχένα.
Χαίρων βάδιζε τὴν ἄνω κατοικίαν.
Ψέγου παρ' ἄλλου ἢ μᾶλλον θέλε ψέγειν.
Ὦ παῖ φύλαξον ταῦτα, καὶ μέγας ἔσῃ :–

Περὶ τῆς σαρκός :–

Σάρξ, οὐσία ῥευστή, ἐξ αἵματος καὶ φλέγματος καὶ χυμοῦ τε χολῆς συνισταμένη· ἤγουν, ἐξ ἀέρος καὶ γῆς, καὶ πυρὸς καὶ ὕδατος, τουτέστιν, ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ. ὁ ἥλιος, τὸ θερμὸν καὶ τὸ ζωτικόν· ὁ ἀὴρ τὸ ψυχρόν· ἡ γῆ τὸ ξηρόν· καὶ τὰ ὕδατα τὸ ὑγρόν :–

Ὁ ἄνθρωπος, οὔτε θνητὸς ἐνεργείᾳ, οὔτε ἀθάνατος ἐδημιουργήθη, ἀλλ' ἔμελλεν ἑνοῦσθαι τῷ θεῷ, καὶ ἀπαθανατίζεσθαι. διὰ δὲ τὸ παραβῆναι, τῇ φθορᾷ προσοικειοῦσθαι, καὶ ἐμπαθὴς ἀντὶ ἀπαθοῦς, καὶ θνητὸς ἀντὶ ἀθανάτου γίνεσθαι:—

Περὶ τοῦ πῶς δεῖ πιστεύειν:—

Πιστεύομεν εἰς ἕνα θεὸν ἐν τρισὶ προσώποις προσκυνούμενον, ἤγουν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. τριάδα ὁμοούσιον καὶ ὁμότιμον, καὶ ὁμοδύναμον, καὶ ὁμόθρονον, εἰς μίαν συναγομένην κυριότητα καὶ θεότητα. μὴ συγχεομένων καὶ συμφυρομένων τῶν τριῶν ὑποστάσεων. ἤγουν προσώπων, εἰς ἓν πρόσωπον. ὥστε τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καθὼς ὁ παράνομος ἐφλυάρησε Σαβέλλιος. ἀλλὰ ἐν τριάδι μονάδα πιστεύω, καὶ μονάδα ἐν τριάδι δοξάζω. τριάδα μὲν, κατὰ τὰς ὑποστάσεις, τὰ πρόσωπα καὶ ἰδιότητας, ἤτοι, πατέρα ἄναρχον. ἀγέννητον. ἀΐδιον. ὑπερτέλειον. υἱὸν λόγον γεννητόν. συνάναρχον καὶ συναΐδιον. πνεῦμα ἅγιον ἐκ πατρὸς ἐκπορευόμενον, τὸ παράκλητον ἅγιον καλούμενον. συναΐδιον πατρὶ καὶ υἱῷ. μονάδα δὲ πιστεύω καὶ ὁμολογῶ τῇ θεότητι καὶ τῇ οὐσίᾳ, καὶ τῇ φύσει καὶ τῇ ἐνεργείᾳ. οὐ γὰρ τρεῖς θεοὺς πιστεύομεν, ἢ τρεῖς οὐσίας, ἢ τρεῖς φύσεις, ἀλλ' ἕνα θεόν, καὶ μίαν φύσιν, καὶ μίαν ἐνέργειαν, καὶ ἓν θέλημα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ἐὰν γὰρ ἐρωτηθεὶς πόσας φύσεις πιστεύεις, ἐπὶ μὲν τῆς ἁγίας τριάδος, εἰπὲ μίαν. ἐπὶ δὲ τοῦ σαρκωθέντος υἱοῦ καὶ λόγου τοῦ θεοῦ, εἰπὲ δύο φύσεις πιστεύω, θεότητα καὶ ἀνθρωπότητα. καὶ δύο ἐνεργείας. καὶ δύο θελή-

σεις· μίαν δ' ὑπόστασιν· ὁ γὰρ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, πρὸ πάντων αἰώνων γεννηθεὶς ἐκ τοῦ πατρὸς, ἀρρεύστως καὶ ἀρρήτως, ἐλεήσας τὸ πλάσμα αὐτοῦ ἤγουν τὸν ἄνθρωπον, ὡς ποιητὴς πάντων καὶ δημιουργὸς, διὰ τὸ πάλιν ἀναπλάσαι αὐτὸν καὶ ἀφθαρτίσαι καὶ ἀνακαινίσαι, ἀνέπλασεν ἐν ἑαυτῷ σάρκα ἔννουν καὶ ἔμψυχον, ἐκ τῶν καθαρῶν αἱμάτων τῆς ἀειπαρθένου καὶ ἁγίας θεοτόκου, καὶ ἐγένετο τέλειος ἄνθρωπος· τέλειος ὢν θεὸς, ὁ ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα· καὶ ὁμοούσιος τῇ μητρὶ καὶ ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· σώζων τὰς δύο φύσεις ἐν τῇ μιᾷ ὑποστάσει· καὶ μετὰ τὴν ἕνωσιν εἷς υἱὸς καλούμενος· οὐχ ἁπλοῦς, ἀλλὰ σύνθετος, ἐκ θεότητος καὶ ἀνθρωπότητος· πιστεύομεν οὖν καὶ πάντα ὅσα οἱ ἅγιοι ἡμῶν πατέρες καὶ ὁμολόγησαν καὶ ἐβεβαίωσαν, ἐν ταῖς ἑπτὰ ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις, καὶ προσκυνοῦμεν καὶ σεβόμεθα, καὶ τιμῶμεν τὰς ἁγίας εἰκόνας, τοῦ τε κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ τῆς ἁγίας αὐτοῦ καὶ πανάγνου μητρὸς, τῆς κυρίως καὶ ἀληθῶς θεοτόκου, καὶ πάντων τῶν ἁγίων· ἀλλ' οὐχ ὡς θεοὺς τούτους ἔχομεν καὶ πιστεύομεν, μὴ γένοιτο, ἀλλ' ὡς τῶν πρωτοτύπων χαρακτῆρας καὶ εἰκόνας, καὶ ἀναγούσας ἡμᾶς εἰς τὸ πρωτότυπον· οὕτως ὀφείλει πᾶς χριστιανὸς πιστεύειν καὶ ὁμολογεῖν κατὰ τὸ ἅγιον σύμβολον, καὶ προσδοκᾶν ἀνάστασιν νεκρῶν, καὶ κρίσιν καὶ ἀνταπόδοσιν, τῆς τε ὀρθῆς πίστεως καὶ τῶν ἡμῖν πεπραγμένων, καὶ μὴ καταφεύγειν εἰς ἄγνοιαν· οὐδὲν γὰρ ὀφελήσει ἡμᾶς αὕτη τότε· ἀλλ' ἐν τούτοις ζῆν καὶ κινεῖσθαι, καὶ μεριμνᾶν διαπαντὸς

χάριτι Χριστοῦ, ἵνα καὶ τῶν ἡτοιμασμένων ἀγαθῶν τοῖς τελείοις ἐπιτύχωμεν· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν :~

Νικολάου τοῦ ἁγιωτάτου ἐπισκόπου Μεθώνης, ἐκ τοῦ πρακτικοῦ τῆς ἁγίας τῆς πρώτης συνόδου κατὰ Λατίνων :~

Πιστεύομεν τοίνυν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· τριάδα ὁμοούσιον· καὶ ἀχώριστον· καὶ ἄκτιστον· καθάπερ ἡ ἁγία καὶ πρώτη συνεκροτήθη σύνοδος ἡ ἐν Νικαίᾳ, ἐπὶ καθαιρέσει τῶν δυσσεβῶν δογμάτων, Ἀρείου καὶ Σαβελλίου· Φωτεινοῦ· Μάνεντος· Μακεδονίου· Παύλου τοῦ Σαμοσατέως· Οὐαλεντίνου τε καὶ Μαρκίωνος, καὶ πάσης τῆς κατὰ ταῦτα φυείσης αἱρέσεως, πρὸς τὸν ἀποροῦντα φιλόσοφον περὶ τῆς θεώσεως τοῦ ἁγίου πνεύματος ἀπεκρίνατο, διὰ τοῦ μακαρίου λέοντος τοῦ νεοκαισαρείας· δέχου μίαν θεότητα τοῦ πατρὸς γεννήσαντος τὸν υἱὸν ἀνεκφράστως, καὶ τοῦ υἱοῦ τοῦ γεννηθέντος ἐξ αὐτοῦ τοῦ πατρός, ἰδίου δ' ὄντος τοῦ υἱοῦ καθά φησιν ὁ ἀπόστολος Παῦλος· εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ. ἀλλὰ τοῖς δι' ὑποδειγμάτων σαφοῦσιν, εἰ καὶ πολὺ τῆς ὑποστάσεως ὑστερούντων, ἐκεῖνο δὲ τῷ φιλοσόφῳ τὸ ἀπορούμενον, καὶ τοῖς Λατίνοις τὸ ἀμφιβαλλόμενον, ὅτι τὸ πνεῦμα ἐκ πατρός, οὐκ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, ἀνάλογον γὰρ λαμβάνουσιν. τῷ πατρὶ μέν, τὸν ἐν ἡμῖν νοῦν· τὸ πῦρ, τὴν πηγήν. τῷ υἱῷ δέ, τὸν λόγον. τὸ ἀπαύγασμα, τὸν ποταμόν. τῷ πνεύματι δὲ τῷ ἁγίῳ, τὸ ἐξ ἡμῶν πνεῦμα·

τὸ φῶς καὶ τὸ ὕδωρ. ἐκ τούτων δὲ τῶν ὑποδειγμάτων, τό τε
μοναρχικὸν τῆς οὐσίας, τῶν τελεσφόρω δεικνύουσι, καὶ τὸ τῶν
προσώπων τριαδικόν, οὐχ ἧττον δὲ καὶ τὸ ἐξαίρετον εἰς τὴν
περικειμένην ζήτησιν χορηγοῦσι, τὴν ἀναλογίαν πλατύτερον
ἐξαπλώσαντι. πατὴρ υἱὸς πνεῦμα. υἱὸς καὶ πνεῦμα ἐκ πατρός.
νοῦς λόγος πνεῦμα. λόγος καὶ πνεῦμα ἐκ νοῦ. πῦρ ἀπαύγασμα
καὶ φῶς ἐκ πυρός. πηγὴ ποταμὸς ὕδωρ. ποταμὸς δὲ
καὶ ὕδωρ ἐκ πηγῆς. καὶ λέγονται καὶ εἰσίν. ἐκ τῶν δευτέρων
δὲ τὰ τρίτα, ἢ ἐκ τῶν τρίτων τὰ δεύτερα, οὐδαμῶς. καὶ μὴν τὸ
ἐν τῷ λόγῳ τὸ πνεῦμα, καὶ τὸ φῶς ἐν τῷ ἀπαυγάσματι, καὶ τὸ ὕ-
δωρ ἐν τῷ ποταμῷ, ἀλλὰ καὶ ἕκαστον ἑκάστου τὰ ἐναλλάξ
τῶν δευτέρων, ὥσπερ καὶ τῶν πρώτων λέγεται. ἔμπαλιν δὲ τῶν
πρώτων, καὶ τὰ δεύτερα καλεῖται τοῖς τῶν τρίτων ὀνόμασι.
μετάθες τὴν ἀναλογίαν εἰς τὴν τριάδα, καὶ σωθήσεταί σοι διὰ
πάσης τὸ ἀπαράλλακτον. υἱὸς γὰρ καὶ πνεῦμα ἐκ πατρός, ἐξ ἀλλή-
λων δὲ οὐδαμῶς. καὶ τὸ πνεῦμα ἐν τῷ υἱῷ ἀληθέστερον γάρ. ἀλλὰ
καὶ υἱοῦ καὶ πατρὸς πνεῦμα. τὸ ἔμπαλιν δέ, πνεῦμα καὶ ὁ υἱός τε καὶ
ὁ πατήρ. ταῦτα τῆς πρώτης συνόδου, λεόντιος μὲν ἔλεγεν, ἀλλ' ἡ
σύνοδος ἐπεκύρου. εἴ τις οὖν οὐ πιστεύει καθὼς πεπί-
στευκε καὶ ὑπέδειξε καὶ παραδέδωκεν ἡμῖν ἡ ἁγία αὕτη καὶ
πρώτη σύνοδος, ὁμοίως καὶ ἡ δευτέρα ἁγία σύνοδος ἐπί-
στευσε καὶ παρέδωκεν ἡμῖν, οὕτως λέγουσα. Καὶ εἰς τὸ πνεῦμα
τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμε-
νον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, τὸ συνδοξαζόμε-
νον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. ὁμοίως καὶ αἱ πέντε ἄλλαι

ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι ἐπίστευσαν, καὶ ἐβεβαίωσαν ταύτην τὴν ὀρθόδοξον πίστιν, καὶ παρέδωκαν ἡμῖν αὐτήν, ἢ εἰς τό:

Ἀναστασίου πατριάρχου θεουπόλεως μεγάλης ἀντιοχείας, ὅροι κατ' ἐπιτομὴν περὶ πίστεως:

Οἱ διαφόρως κατὰ τὴν παράδοσιν καὶ πίστιν τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, συλλεξάντες ἀπό τε πλειόνων καὶ ἑτέρων ὁσίων καὶ μακαρίων πατέρων, οὓς δεῖ πρὸ παντὸς ἑτέρου μαθήματος ἐκστηθίζειν, τῇ βοηθείᾳ τοῦ θεοῦ προΐστασθαι τὸν λόγον τῆς εὐσεβείας βουλόμενοι. πρὸ δὲ ἀκριβεστέραν παράδοσιν κἀκεῖνο εἰδέναι χρή, ὅτι περὶ παντὸς τοῦ οἱουοῦν ζητήματος ἢ ἐρωτήματος, τρεῖς τινὰς ἐρωτήσεις ἔχει καὶ ἐξετάσεις· οἷον, τί ἐστι θεός· καὶ κατὰ τί εἴρηται θεός· καὶ ὅτι ἀληθῶς νοεῖται θεός· καὶ ὅτε μὲν ἐρωτῶμεν τί ἐστι θεός, πρόδηλον ὅτι τὸν ὅρον τοῦ πράγματος ζητοῦμεν. ὅτε δὲ λέγομεν, ὅτι κατὰ

ἰσ. ἐτυμολογίαν

τί θεὸς εἴρηται, τὴν ἐτυμολογίαν αὐτὴν τοῦ ὀνόματος ἀπαιτοῦμεν. ἡνίκα δὲ πάλιν λέγομεν, ὅτι ὁ ἀληθῶς νοεῖται ἡ θεὸς προσηγορία, πρόδηλον ὅτι τὸ κατὰ ποίους τρόπους εἴρηται θεός, εἰπεῖν ἡμῖν αὐτοὺς εἰς προάπλομεν. ὅμως ἐκτὸς εἰδήσεως τῶν ὅρων δογματίζειν ἐπιχειρεῖν, οὐδὲν διαφέρει τυφλοῦ ὁδοιπόρου, ὧδε κἀκεῖσε πλαζομένου. ἀρκτέον τοίνυν τῷ προειρημένῳ τρόπῳ, τελείως ποιεῖσθαι τὰς ἐρωτήσεις τῶν ὅρων:

ἐρώτ. Τί ἐστιν ὅρος. καὶ κατὰ τί εἴρηται ὅρος. καὶ ὅτι ἀληθῶς νοεῖται ὅρος θεοῦ:

ἀπόκρ. Ὅρος ἐστὶ λόγος σύντομος δηλωτικός, τῆς ὑποκειμένης οὐσίας

τῶν πραγμάτων· ὅροι δὲ λέγονται, ὡς ὁράσεις καὶ ὀφθαλμοὶ τῶν
πραγμάτων τυγχάνοντες, ἢ ὡς ὁρίζοντες ἤδη περικλείοντες
συντόμως τὴν τοῦ ὀνόματος δύναμιν· οἷον ἀνθρώπου λέγομεν, ἄνθρωπος
ἐστὶν οὐσία ἐκ σαρκὸς καὶ ψυχῆς καὶ λόγου καὶ αἵματος καὶ
στοιχείων, καὶ ἑτέρων πλειόνων. περιορίζομεν ταῦτα διὰ τοῦ
ὅρου λέγοντες, ὅτι ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν, νοῦ καὶ ἐπι-
στήμης δεκτικόν. πολλοὶ μὲν οὖν εἰσὶ καὶ ἀναρίθμητοι ὅροι
περὶ παντὸς πράγματος, ἐκ πολλῶν δὲ ὀλίγων τοὺς κυριωτέ-
ρους ἐντάττομεν διὰ τὸ ἄθυμον τῶν ἀνθρώπων. πλὴν τοῦτο γνωστέον
καὶ πιστευτέον, ὅτι ὁ φιλοπόνως περιέπων τοὺς ὅρους, ἐν τάχει
καὶ δεινοὺς πολυλόγους δυνήσεται εὐχερῶς ἐν ταῖς δια-
λέξεσιν ἀποστομίζειν ἐκ τῆς τοῦ θεοῦ βοηθείας. ἐπεὶ γὰρ ἐρωτηθεὶς
τί ἐστι λόγος, καὶ κατὰ τί εἴρηται, καὶ ὁ ταχέως ὁ λόγος, καὶ
ἀπορήσει ἐὰν ἀπειρῇ τοὺς ὅρους, ὁ δι' ἐναντίας καὶ ἐν ταῖς λοι-
ποῖς λοιποῖς καταισχύνεται μηδὲν ἐπιστάμενος. ὅρος τῶν ὅ-
ρων ἐστίν, ὁ πάντα μὲν ὁρίζων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ὁριζόμε-
νος. ἀόριστον δέ ἐστι, τὸ κατ' οὐσίαν ἀσήμαντον, θεός. δυσόρι-
στον δέ ἐστι, τὸ μὴ καθόλου, ἀλλ' ἐκ μέρους γινωσκόμενον.
οἷον τὸ ξύλον τῆς ζωῆς. τρία εἰσὶ κατ' οὐσίαν ἐν αὐτοῖς ἀγνώ-
ριστα καὶ ἀόριστα, τί καὶ τί θεὸς καὶ ἄγγελος καὶ ψυχή, μόνα
τῷ θεῷ γινωσκόμενα κατ' οὐσίαν. λοιπὸν ὁ καλῶς διαπο-
ρῶν, πρὸς τὸν δι' ἐναντίας οὕτως λέγει. τί ὅρος. καὶ τί τὸ ἀ-
όριστον. καὶ τί τὸ δυσόριστον, καὶ οἷον εὐόριστον. εὐόριστον
ἐστί, τὸ ψηλαφώμενον, οἷον ὁ ἄρτος καὶ τὰ ὅμοια. ὅριόν ἐστιν,
ἀνυπέρβατος στάσις. ἀόριστον δέ ἐστι, τὸ ἄκτιστον καὶ ἀόρατον, τὸ μόνον ἄκτιστον, θεός.
δυσόριστον δέ ἐστι,

ἄγγελος, ψυχή, δαίμων :

ἐρώτ. Τί θεός· καὶ κατὰ τί θεός· καὶ ὁ κυρίως εἴρηται θεός :

ἀπόκ. Καὶ θεὸς μὲν ἐστιν, οὐσία ἀναίτιος· αἰτία παναλκὴς πάσης αἰτί-
αἰτία τις ὑπερούσιος· θεός ἐστιν, ἀνώνυμος καὶ ἀσήμαντος πα-
ρὰ αὐτοῖς ὕπαρξις, πάσης ὑπάρξεως ποιητική· ἀκοινώνη-
τον δὲ ὄνομα ἐστί, τὸ μήτε αὐτοῖς μήτε ἀγγέλοις ἀκουσθὲν ἢ συ-
νοηθέν :

ἐρώτ. Ὁ κυρίως ἡ θεὸς προσηγορία εἴρηται ἐν τῇ γραφῇ :

ἀπόκ. Διττῶς λέγεται φύσει καὶ θέσει· φύσει μέν, ὁ ποιητής· θέ-
σει δὲ καὶ χάριτι καὶ οἱ δίκαιοι λέγονται θεοί :

ἐρώτ. Ἡ δὲ θεὸς προσηγορία, ποτέρου οὐσιώδης ἢ προσωπικὴ ἢ ἐνεργητι-
κή, καθέστηκε καὶ μεταμορφωτική :

ἀπόκ. Πρόδηλον ὅτι ἐνεργητικὴ τυγχάνει· οὐ γὰρ αὐτὴν τὴν τοῦ θε-
οῦ οὐσίαν ἡμῖν παρίστησιν, ἀδύνατον γὰρ αὐτὴν γνῶναι, ἀλλὰ
μόνην τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν δηλοῖ τὸ θεός :

ἐρώτ. Τί πατήρ· καὶ κατὰ τί εἴρηται πατήρ· καὶ ὁ κυρίως ἐπὶ θεοῦ ἡ πρόθεσις :

ἀπόκ. Πατὴρ μὲν ὁ θεὸς κυρίως εἴρηται, ἀναίτιος ὑπόστασις, γεννητική,
ἀγέννητος· εἴρηται δὲ πατήρ, ἢ ὡς τὰ πάντα πληρῶν, ἢ ὡς τοὺς οἰ-
κείους παῖδας, οἷον πατήρ· διττῶς δὲ εἴρηται πατὴρ ὁ θεός, φύσει
καὶ χάριτι· φύσει μέν, τοῦ ἰδίου καὶ ὁμοουσίου υἱοῦ καὶ
τοῦ λόγου· χάριτι δὲ καὶ ἡμῶν, ὡς τὸ ἐγὼ εἶπα θεοί ἐστε καὶ
υἱοὶ ὑψίστου πάντες :

ἐρώτ. Τί υἱός· καὶ κατὰ τί εἴρηται υἱός· καὶ ὁ κυρίως ὁ υἱὸς νοεῖται :

ἀπόκ. Καὶ υἱὸς μὲν κυρίως ἐστί, δευτερότης ὑποστάσεως ἐν ταυτό-
τητι φύσεως, ἢ αὔξησις προσώπων ὁμογενοῦς, ἢ πρόοδος

φύσεως εἰς συντέλειαν γινωσκομένη· υἱὸς δὲ κυρίως εἴρηται, ὡς ἂν εἴποις ὅλος ὅλος· ὅλος γὰρ ὁ πατὴρ τὴν οὐσίαν, τοιοῦτος καὶ ὁ μονογενὴς υἱός, εἴτε ἐξ ἀκτίστου ἄκτιστος, εἴτε ἐκ θνητοῦ θνητός, καὶ βροτοῦ βροτός· κατὰ δύο τρόπους πάλιν εἴρηται ὅπερ οὖν ἡ υἱότης, φύσει καὶ χάριτι· φύσει υἱός, ὁ θεὸς λόγος· χάριτι δέ, οἱ δίκαιοι :–

Τί πνεῦμα· καὶ κατὰ τί εἴρηται πνεῦμα· καὶ ὁσαχῶς λέγεται πνεῦμα :– ἐρώτ.

Καὶ πνεῦμα μέν ἐστι, λεπτὴ καὶ ἄϋλος καὶ ἀσχημάτιστος ἐκπορευτικὴ ὕπαρξις· πνεῦμα δὲ εἴρηται, ὡσανεὶ πᾶν πνεῦμα, διὰ τὸ ὡς νεῦμα ὀξέως παντεντεῦθεν καὶ κινούμενον. εἴρηται δὲ πνεῦμα ἐν τῇ γραφῇ τετραχῶς· πνεῦμα, τὸ πνεῦμα τὸ ἅγιον· πνεῦμα, ὁ ἄγγελος· πνεῦμα, ἡ ψυχή· πνεῦμα, καὶ ὁ ἄνεμος· ἔστι δ' ὅτε καὶ ὁ νοῦς εἴρηται πνεῦμα :– ἀπόκρ.

Τριάς ἐστι κατὰ μὲν τὴν φυσικὴν ἀκολουθίαν, μονάδων σύνθεσις· κατὰ δὲ τὴν θεϊκὴν οὐσίαν, ὑπεράριθμος ὕπαρξις :–

Τί ἐστιν ἀΐδιον :– ἐρώτ.

Ἀΐδιόν ἐστι τὸ ἀεὶ ὄν, ἤγουν τὸ μηδέποτε ἀρξάμενον μηδὲ λῆξον· πᾶν δὲ ἀτελεύτητον, πάντως καὶ ἄναρχον· οἱ γὰρ ἄγγελοι καὶ αἱ ψυχαί, ἀρχὴν μὲν ἔχουσι τοῦ εἶναι, τέλος δὲ οὐκ ἔχουσιν. ἰδίωμα μὲν λέγεται, τὸ κυρίως ἔν τινι γινωσκόμενον, ἐν ἑτέρᾳ δὲ οὐσίᾳ μηδαμῶς ὑπάρχον· ὥσπερ ἐν τῷ ἀνθρώπῳ τὸ γελαστικόν· οὐ γάρ ἐστι γέλως ἐν ἄλλῃ οἱᾳδήποτε φύσει :– ἀπόκρ.

Τί φύσις· καὶ κατὰ τί εἴρηται φύσις· καὶ ὁσαχῶς ἡ φύσις :– ἐρώτ.

Καὶ φύσις μέν ἐστι κατὰ τὸ φρόνημα τῆς ἐκκλησίας, ἀληθὴς πράγματος ὕπαρξις· κατὰ δὲ Ἀριστοτέλην καὶ τοὺς λοιποὺς ἀπόκρ.

ἕλληνας, πολυτρόπως ἡ φύσις δείκνυται· οὓς τινας ὅσους οἱ ἀπὸ σεβήρου κεφαλαιωτῶν, ἀπεπλανήθησαν. φύσις ἐστὶ κατὰ τὸν θεῖον ἀπόστολον, περὶ τὸ ἐν ἀληθείᾳ ὄν, καθαπλούστερον λεγόμενον ἑξῆς· φύσιν δὲ λέγει ἡ ἐκκλησία, τὴν τῶν ὑπαρχόντων ἀλήθειαν, ἤγουν τὸ τῶν ὄντων ἐνούσιον. φύσις δὲ εἴρηται, διὰ τὸ πεφυκέναι καὶ εἶναι, ὥσπερ καὶ οὐσία ὡς οὖσα, καὶ ἐν ἀληθείᾳ ἀτίνω εἰζομένη· φύσις καὶ οὐσία καὶ εἶδος καὶ μορφή, ἓν καὶ τὸ αὐτό εἰσιν ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν, ὥσπερ ὁ ἄρτος καὶ τὸ ψωμίον καὶ τὸ βουκκίον· διὸ καὶ τὸ ὁμοφυὲς καὶ τὸ ἐνούσιον, ταυτόν ἐστι. γενικῶς δὲ εἴρηται ἡ φύσις ὡς προεῖπον, οὐσία καὶ φύσις, καὶ εἶδος καὶ μορφή:—

ἐρώτ. Τί ἐστιν ὑπόστασις· καὶ κατὰ τί εἴρηται ὑπόστασις· καὶ ὁ ἑλλήνως ἡ ὑπόστασις:—

ἀπόκρ. Ὑπόστασις οὖν ἐστι κατὰ τὴν ἐκκλησιαστικὴν καὶ ἀποστολικὴν ἀκολουθίαν, τὸ πρόσωπον ἤγουν ὁ χαρακτήρ, καθὼς φησὶν ὁ παῦλος τὸν υἱὸν ἀπαύγασμα τῆς δόξης τοῦ πατρός, καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ, τουτέστι πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος καὶ τῆς ὑποστάσεως τοῦ πατρός. πρόσωπα δὲ καὶ χαρακτῆρας λέγομεν ἐπὶ τῶν ἀσώματα καὶ ἀπειρατά πλεῖα καὶ ἀσχημάτιστα. πρόσωπον ἤγουν ὑπόστασίς ἐστι κατὰ κατὰ τοὺς ἁγίους πατέρας, τὸ ἰδικὸν παρὰ τὸ κοινόν· κοινότης γάρ ἐστιν ἡ φύσις ἑκάστου πράγματος. ἴδιαι δέ εἰσιν αἱ ὑποστάσεις· οἷον λέγω, φύσις ἐστὶν ἤγουν οὐσία μία ἡ θεότης. ὑποστάσεις δὲ τρεῖς, πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα, τρία πρόσωπα ἤγουν χαρακτῆρες. μία δὲ ἡ οὐσία καὶ τὸ εἶδος. ἐὰν οὖν

εἴπῃς, φυλάξει ἡμᾶς ἡ θεότης, ὅλην τὴν ἁγίαν τριάδα ἐσήμανας. εἰ δ' εἴπῃς μεθ' ἡμῶν ὁ υἱὸς τοῦ θεοῦ, μίαν τῶν τριῶν ὑποστάσεων εἶπας καὶ ὅλην τὴν θεότητα. Καὶ πάλιν περὶ τῶν αὐτῶν ἄκουσον. ἡ θεότης, ἰδοὺ τὸ κοινὸν καὶ ὁλοτελῶς τῆς οὐσίας. λοιπὸν ἡ πατρότης, ἰδοὺ ἓν πρόσωπον ἤτοι ὑπόστασις. ἡ υἱότης, ἰδοὺ ἄλλη ὑπόστασις. τὸ πνεῦμα τὸ ἅγιον, ἰδοὺ ἄλλη ὑπόστασις. τρεῖς ὑποστάσεις καὶ ἰδιότητες εἰσὶν ἐπὶ τῆς θεότητος, τὸ ἀγέννητον τοῦ πατρὸς, καὶ τὸ γεννητὸν τοῦ υἱοῦ, καὶ τὸ ἐκπορευτὸν τοῦ ἁγίου πνεύματος. οὔτε γεννητός ἐστιν ὁ πατήρ, οὐδὲ ἐκπορευτός ἐστιν ὁ υἱὸς, οὔτε γεννητὸν τὸ πνεῦμα τὸ ἅγιον. λοιπὸν τελείως δ' εἴρηται ἡ ὑπόστασις, καὶ πρόσωπον καὶ χαρακτήρ, τὸ ἴδιον καὶ ἄτομον :—

Περὶ φύσεως :—

Φύσις λέγεται ἡ ἀγγελιότης. ὑπόστασις δ', αἱ ἴδιαι καὶ ἑκάστου ἀγγέλου προσηγορίαι, γαβριήλ, μιχαήλ. καὶ πάλιν φύσις ἐστὶ μία καὶ κοινὴ ἡ ἀνθρωπότης. ὑπόστασις δὲ, πέτρος, παῦλος, θωμᾶς, καὶ τὰ λοιπὰ πρόσωπα καὶ οἱ χαρακτῆρες. ἡ οὖν φύσις ἐστὶν ἡ κυρία καὶ αἰτία καὶ γεννητικὴ τῶν ὑποστάσεων τῶν ἐν αὐτῇ. καὶ διὰ τοῦτο ὑποστάσεις λέγονται, ὡς ὑπὸ τὴν φύσιν ἱστάμεναι τὴν αὐτῶν πηγήν. Καὶ πάλιν περὶ τῶν αὐτῶν εὑρημένων. ἐὰν εἴπῃς καλὴ φύσις ὁ ἄγγελος, ὅλην τὴν οὐσίαν αὐτῶν ἐσήμανας. ἐὰν δ' εἴπῃς μέγας ἐστὶν ὁ γαβριήλ, ὑπόστασιν μίαν ἐκ πάντων εἶπας. ἡ ἀνθρωπότης γενική. ἰδοὺ ἡ οὐσία ὅλη. εἰ δ' κόνων, καὶ σίμων, καὶ φίλων, ὑποστάσεις εἰσί. πάλιν ἐὰν εἴπῃς τοῦ πετεινοῦ ἡ φύσις καθαρά,

ἰδού τήν οὐσίαν παθῶν ἐδήλωσας· ἡ πίσσα· ἡ ἀνδών· ἡ πρεών· ἡ ταώς· ἡ κύκνος· ἰδού αὖται ὑποστάσεις καὶ πόσα λέγονται, οὐ μόνον δ' ἐπὶ νοερῶν καὶ λογικῶν δ' ἐμψύχων ὁ αὐτός καιρός ὧν ὄρων ἁρμόζει, ἀλλά καὶ ἐπὶ παντός ἀψύχου καὶ ἀναισθήτου καὶ ἀκινήτου φύσεως. οἷον λέγω, ἐὰν εἴπωμεν ὁ ἐποίησεν ὁ θεὸς τὸν ἥλιον, ἰδού τήν οὐσίαν παθῶν ὧν φωστήρων ἐποιήσαμεν· αὖ λοιπόν ἡ οὐσία λέγεται εἰς τάς ὑποστάσεις αὐτῆς· ὑποστάσεις δ' φύσεως, μᾶλλον δὲ φῶς εἶσι σελήνη καὶ ἕσπερος, ὠρίων, ἕωσφορος, ἀρκτοῦρος, ἑωσφόρος, καρκῖνος καὶ τἄλλα πάντα· ὁμοίως καὶ ἐπὶ ἀνέμων· ἐὰν εἴπῃς πνεῦμα, πᾶσαν τήν φύσιν ὧν ἀνέμων ἐσήμανας· ἐὰν δ' εἴπῃς νότος ἢ βορρᾶς ἢ λίψ, αὖται ὑποστάσεις εἰσί· ὡσαύτως τό πῦρ μία οὐσία ἐστί, λέγεται δ' εἰς ὑποστάσεις ἥλιον λύχνους καὶ κηρούς, καὶ λαμπάδας, καὶ πλιβάνους, καὶ καμίνους· ὁμοίως γοῦν ὡς τό εἶπον καὶ ὁ ἄνθρωπος πᾶσα μία οὐσία ἐστί, πολλά δ' πρόσωπα :-

Περί σαρκός :-

Τήν οὖν ἁπλῆν σάρκα βλέπω καὶ θεωρῶ, οὐ λέγομεν πόσον, ἀλλ' οὐσίαν, ἵνα σημαίνωμεν ὅλον τήν φύσιν τῶν ἐλαβε καὶ ἔσωσεν. εἰ δ' εἴπωμεν αὐτήν ὑπόστασιν, σφάλλονται ἄνθρωποι εἰσοκόμενα λέγοντες ὅλον ἀνέλαβε καὶ ἔσωσεν ὅλος. πλήν οὐδέ ὅλως λέγεσθαι ὑπόστασις ἐφάρμοσεν ἐστί βλέπω λόγου ἡ σάρξ. ὑπόστασις γάρ βλέπω εἰσομένου πρόσωπον λέγεται· σύνυπόστατον μέν βλέπει λέγομεν οὐμενῦ ὑπόστασιν· βλέπω δ' σύνυπόστατον βλέπω ἐστίν, ὡς πρόσωπα

τὸ παλιν τὸ μὴ ἐχειν ὑπαρξιν ἢ τὸ οὐσιαν. οἱον ἐστι τὸ ἀνυ
πνιον ἀνουσιον καὶ ἀνυποστατον καὶ φαντασιωδες. καὶ
ὅπως δειστεον εἰπωμεν ἀνυποστατον καὶ ἀνυπαρκτον
καὶ ἀνουσιον ἐστι, δι' ἣν μεν μυριακις λεγομενον, εν
ουσιᾳ δ' ἢ ὑποστασει μη τινα εἰσομενον. οἱον ὁ φαλακρος, ὁ μ'
δης, ὁ νοθος. παλιν ἀνουσιον λεγομεν ἢ ὠδε τὸ ὠν, ἢ τὸ εν
τῃ οὐσιᾳ τινα εἰσομενον ἰδιωμα. οἱον, ἀνουσιον ἐστι τοῦ
ἀνου τὸ λογικον καὶ τὸ φθαρτον. ὁμοιως καὶ τὸ ἀνυποστατον
κατα δυο τροπους λεγεται, ἢ τὸ κατα ἀληθειαν ὑπαρχον,
ἢ τὸ ἀνευ ὑποστασει ἰδιωμα, ὡς αν φ' ἡῶ καὶ περι τὸ ἀμβλυ
ον, αν δ' ᾧ γῶ τὸ γενυν ον, αν δ' ᾧ ἀμῶ πυι τὸ σκοπευον,
καθως ἀνωτερω εἰρηται. ἔστις ἐστιν ἡ ποιὰ παντος φυσεως
δυναμις, ἡ ὧν λοιπων αὐτην οὐσιων ἀκαιουσα τ' ἀφο
ειζουσα, κατα φασιν ὁ θειος Διονυσιος, ὁλη φυσεα γρ ἐστι
φυσεως, ἀνθενειαι τε καὶ ἐλλειψις ὧν φυσικων ἐξεωλε καὶ
ἐνεργειων καὶ δυναμεων :-

περι θεληματος :-

Τι ἐστι θελημα. καὶ κατα τε εἰρηται θελημα. καὶ ὁσαχως ἐστι ἐρω.
τὸ θελημα :-

Κα θελημα μεν ἐστιν, οὐσιας νοερας καὶ λογικης ἐφεσις προς ἀπο.
τὸ κατα φυσιν. παν γρ νοερον, πανδηλον ὁτε καὶ θελητικον.
ὡς πρ γρ πυον λις ἐστι καὶ ζων ἡ θελησις, παση λογικη φυ
σει ὑπαρχουσα. θελημα δ' εἰρηται κατα τε θελου λιαν α
παλην φυσει προς τ' αὐτης θελητου, ἢ ου θελητου λημμα
ἡμων κεκλημενον. τεττων δ' θεωρητεον τ' θελημα, τουτ' ἐστι

θεϊκοῦ, ἀγγελικοῦ, καὶ ψυχικοῦ· αἱ τρεῖς γὰρ αὗται φύσεις
καὶ μόναι εἰσὶ θελητικαί· τετάρτως δὲ καὶ ἐν τῇ γραφῇ τὸ θέ-
λημα εὑρίσκομεν λεγόμενον, καὶ ἕτερον τὸ σαρκικόν, ὅπερ
σημαίνει τὸ διαβολικόν. θέλημα φυσικὸν ἀνθρώπου ἐστί, κίνησις
νοερὰ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς, κατὰ φύσιν πρὸς
τὸ ποθούμενον ζωοποιοῦντα τὸν ἄνθρωπον. θέλημα δὲ ἐστὶ θεϊκὸν
παρὰ ἀνθρώποις, ἡ τῆς ἐμφύτου νοερᾶς ὀρέξεως πρὸς τὸ ἐκ τοῦ
φύσιν ἔπειξις. θέλημα σαρκικὸν ἐμπαθὴς ὁρμή, ἡ τοῦ κα-
τὰ φύσιν πρὸς τὸ παρὰ φύσιν τῆς ψυχῆς παρατροπή :-

περὶ ἰδιώματος :-

ἐρώ. **Τ**ί ἰδίωμα· καὶ ὁσαχῶς τὸ ἰδίωμα· καὶ κατὰ τί εἴρηται
ἰδίωμα :-

ἀπόκρ. **Τ**ὸ ἰδίωμα, ἐτυμολογία τοῦ ἰδιώματος· ἰδίωμα εἴρηται
κατὰ τὸ ἴδια εἶναι ἅμα τῆς φύσεως τῆς ἰδίας, ἀμιγῶς τῶν
λοιπῶν οὐσιῶν ὑπάρχον, ἢ διὰ τὸ ἐν τῷ εἴδει ἅμα εἶναι. ἐ-
ξαίρετοι γὰρ εἰσὶ τῶν φύσεων καὶ τῶν ὑποστάσεων αἱ αὐτῶν
ἰδιότητες. ἰδίωμα ἤγουν ἰδιότης ἐστί, τὸ κυρίως ἐν κοινῇ-
φύσει ἰδικῶς τινι ἑζόμενον, ἐν ἑτέρᾳ δὲ μὴ εὑρισκόμενον.
οἷον τὸ λέγω, ἐν τῇ θείᾳ φύσει τὸ προαιώνιον, τὸ ἄκτιστον, τὸ
ἀπερίγραπτον, ἅτινα οὐχ ὑπάρχουσιν εἶναι ἐν ἄλλῃ οἱαδή-
ποτε οὐσίᾳ, οὔτε ἐν αὐτῷ τῷ παναγίῳ σώματι τοῦ Χριστοῦ κατ'
οὐσίαν. οὔτε γὰρ προαιώνιον ἐστὶ οὔτε ἄκτιστον, οὔτε ἀπερίγρα-
πτον ἐστὶν ὁτιποτε. ἰδίωμα ἀγγελικῆς φύσεως τὸ ἀπαθὲς
τῆς οὐσίας, καὶ ὑμνολογικὸν ἀσίγητον, ἀπαθὲς δὲ τὸ ἀθάνατον
αὐτῶν εἶπον. ἴδιον τοῦ ἀνθρώπου κυρίως τὸ σύνθετον, ἐκ θνητῆς

καὶ ἀθανάτου φύσεως, ἐν ἄλλῃ δὲ ἀσυνθέτου οὐσίᾳ μὴ γνωρι-
ζόμενον. εἰσὶ δὲ ἰδιώματα φυσικὰ ἀπερίττου, καὶ εἰσὶν
ὑποστατικά, ἀτομότης, σιμότης, μελανόθριξ, μακρότης, κοι-
λοβότης, γλαυκότης, γοργότης, νωθρότης καὶ τὰ ὅμοια, ἅπερ οὐκ
ἐνυπάρχουσιν αὐτοῖς ὁμοίως ἐν ἑκάστῳ. οὐ γὰρ πάντες σιμοί, οὐ
δὲ πάντες γοργοί, οὐδὲ πάντες ξανθοί. διόπερ καὶ τινες ὑπόστα-
σιν εἶναι λέγουσι τὴν συνδρομὴν τῶν ἰδιαζόντων ἢ χαρακτη-
ριστικῶν ἰδιωμάτων τοῦ περιττοῦ, τὰ δὲ φυσικὰ ἰδιώμα-
τα ἐν ἅπασι τοῖς ὁμοίοις ὁμοίως ἐνεισκρίνεται. οἷον, πάν-
τες ἄνθρωποι ὁμοίως εἰσὶ θνητοί, λογικοί, ἀναπνευστικοί,
περιπατητικοί, πλατυώνυχες, γεωργητικοί τεχνῶν. συμβεβη-
κὸς εἴρηται τὸ γινόμενον καὶ ἀπογινόμενον, οἷον ἡ νηπιότης,
καὶ γίνεται καὶ ἀπογίνεται διὰ τελειότητος. ἡ ὑγεία ὁμοίως
μεταβάλλεται, καὶ ἡ νόσος, καὶ ἡ θερμότης, καὶ ἡ ξηρότης,
καὶ ἁπλῶς πᾶν τὸ παραλλάττειν δυνάμενον, συμβεβηκὸς
λέγεται. θέλημα οὐσιῶδές ἐστι, τὸ κατακοινοῦ ἐν τῇ φύσει,
ὁμοίως ὁρώμενον. εἰ οὖν εἶχεν ὑπουσίως ἡ σὰρξ τοῦ θνητοῦ
τὸ μὴ θέλειν ἀποθανεῖν, ὡς οἱ ἅγιοι πατέρες φασίν, ἐὰν οὖν
ζητῇ τοῦ θείου τὸ θέλημα ἐν τῷ πάθει καὶ ἐν τῷ ἀγωνιᾶν, πάντως
ὅτι μία ἐστὶν ἡ θέλησις τῆς σαρκὸς καὶ τῆς θεότητος. φυσικὸν
θέλημα αὐτοῦ ἐστιν ὥς φησιν ὁ ἅγιος Βασίλειος τὸ κύριλλος,
τὸ φιλόζωον. πᾶς γὰρ ἄνθρωπος φιλεῖ τὴν ζωὴν καὶ τὸ ὁρᾶν τὸ
φῶς, ἰδοὺ τὸ κοινὸν θέλημα. γνωμικὰ δὲ θελήματα πολλὰ
ἐν τῇ φύσει ἡμῶν, ἄλλος γὰρ ὁ ἄνθρωπος θέλει ἰδιάζειν, τὸ ἄλλος
οἰκοδομεῖν, καὶ ἄλλος γεωργεῖν, καὶ ἕτερος πλεῖν. τὸ οἱ λοι

καὶ ὁμοίως πολλὰ γνωμικὰ θελήματα ἔχομεν. ἔνι δὲ φυσικὸν θέλημα, τουτέστι τὸ θέλειν τὴν ζωήν. θέλει δὲ τὴν ζωὴν ὁ αὐτὸς οὐκ ἀορίστως, ἀλλὰ σημαίνουσα ἡ φύσις ὅ ἐστιν ἀπ᾽ ἀρχῆς εἶχεν ὅτε γέγονε, ἤγουν τὴν ἀθανασίαν ἀγαπᾷ καὶ ζητεῖ. θέλημα θεῖον, τὰ προστάγματα τοῦ θεοῦ. θέλημα φυσικὸν φύσεως λογικῆς, ἡ ἐργασία τοῦ θείου θελήματος. θέλημα σαρκικόν, ἡ παρακοὴ τοῦ θείου νόμου:

Περὶ ἐνεργείας:

Ἐρώ. Τί ἐνέργεια· καὶ κατὰ τί εἴρηται ἐνέργεια· τὸ ὅ τελεῶς ἡ ἐνέρ:

ἀπόκρ. Ἐνέργεια τοίνυν ἐστί, καθὰ φησὶν ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης, ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις, ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν. τὸ γὰρ οὐσίας τινὸς μετέχον, συμμετέχει πάντως καὶ τῆς δηλούσης αὐτὴν ἐνεργείας. ὅθεν γὰρ τῶν οὐσιῶν, τὰς ἀψευδεῖς αὐτῶν ἐνεργείας ὁ ἀληθὴς ἐπίσταται λόγος. νοερῶν ἐνέργειαν, τὴν νόησιν. αἰσθητῶν, τὴν αἴσθησιν. κινητῶν, τὴν κίνησιν. πτηνῶν, τὴν πτῆσιν. νηκτῶν, τὴν νῆξιν. βλαστικῶν, τὴν βλάστησιν. ἑρπιστικῶν, τὴν ἕρψιν. καυστικῶν, τὴν καῦσιν. ῥευστικῶν, τὴν ῥύσιν. θεωρητικῶν, τὴν ὅρασιν. γεννητικῶν, τὴν γέννησιν. καὶ καθόλου εἰπεῖν τῆς πάσης φύσεως σημαντικὸν καὶ ἀφοριστικόν, ἡ ἐνέργεια αὐτῆς ἡ φυσικὴ καθέστηκεν, ἧς ἀναιρουμένης πάντως συναναιρεῖται καὶ ἀπόλλυται καὶ ἡ φύσις. ἀναιρουμένης γὰρ τῆς καύσεως, σβέννυται τὸ πῦρ. καὶ ἀναιρουμένης τῆς κινήσεως τοῦ ζώου, ἀπόλλυται τὸ ζῶον. ἀναιρουμένης τῆς νοήσεως, ἀπόλλυται τὸ νοερὸν τῆς ψυχῆς καὶ τὸ λογιστικὸν αὐτῆς. καὶ διὰ τοῦτο δύο λέ

γράφει ἐν ἄλλῳ θελήσεις καὶ ἐνεργείας, ἵνα μὴ ἄψυχον σῶμα καὶ ἄλογον ψυχὴν ἐπ' αὐτοῦ εἴπωμεν. ἐνέργεια γὰρ ἐμψύχου σώματος, τὸ περιπατεῖν καὶ ἐργάζεσθαι. ἐνέργεια δὲ λογικῆς ψυχῆς, ἡ θελητικὴ καὶ λογιστικὴ καὶ βουλευτικὴ διάνοια αὐτῆς ἐστιν. οὐ μόνον δὲ ἐπὶ ἐμψύχων καὶ κινητικῶν ἔστιν εὑρεῖν φυσικὰς ἐνεργείας, ὡς μαρτυρεῖ ἡ σκαμμωνία καὶ τὰ καθάρσια τὰ κενωτικῆς ἐνεργείας ὑπάρχοντα. καὶ ἡ ὑδράργυρος θανατικὴν ποιοῦσα ἐνέργειαν. καὶ τὸ κώνειον ὁμοίως ἀναιρετικὸν ὑπάρχον. τὸ δὲ παραδοξότερον ὅτι καὶ τινες διάφοροι φύσεις στερούμεναι πολλάκις τῶν φυσικῶν ἐνεργειῶν αὐτῶν, ἑτέρας ἐνεργείας τίκτουσιν. οἷον, ἡ λίθος καιομένη, ἀπόλλυσι τὴν ψυχρὰν ἐνέργειαν, καὶ καυστικὴν σωμάτων ἐνέργειαν ἄσβεστος γινομένη κέκτηται. ὁμοίως καὶ ἡ κέδρος καιομένη, στερεῖται μὲν τῆς φυσικῆς καὶ αὐξητικῆς καὶ βλαστώδους ἐνεργείας, ἰαματικὴν δέ τινα καὶ ἀναιρετικὴν σκωλήκων ἐνέργειαν τὴν κεδρέαν δίδωσιν. ἀμέλει οὖν, τοῖς ἐμφρόνως τὰς τῶν ὅλων προσηγορίας διασκοπεῖν καὶ ἀνακρίνειν ἐπισταμένοις ἔξεστιν εὑρεῖν, ὅτι αἱ πλείους πάσης ὑπάρξεως προσηγορίαι ἐνεργητικὰς ἀλλ' οὐ φυσικὰς τὰς ὀνομασίας ἔχουσιν, ἐκ τῶν ἰδίων ἐνεργειῶν ταύτας λαβοῦσαι καὶ ἔχουσαι καὶ λεγόμεναι. καὶ ἀρκτέον τῆς τοιαύτης ἀποδείξεως ἐξ αὐτῆς τῆς θεοῦ προσηγορίας καὶ ὀνομασίας, θεὸς γὰρ οὐκ αὐτὴν τὴν οὐσίαν τὴν ἀκατάληπτον καὶ ἀνώνυμον τοῦ δημιουργοῦ ἡμῶν παρίστησιν, ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας εἴρηται θεός. ὁμοίως καὶ ὁ ἄγγελος, οὐ

τὴν οὐσίαν αὐτὴν καὶ τὴν ὕπαρξιν τῆς αὐτῶν φύσεως δηλοῖ, ἀλλ' ἐκ τῆς ἀγγελικῆς αὐτῶν ἐνεργείας καὶ διακονίας τὴν ἀγγέλου ὀνομασίαν ἔχουσιν. ὥσπερ δὴ καὶ ὁ ἄνθρωπος, οὐκ ἐξ αὐτῆς τῆς οὐσιώδους αὐτοῦ ποιότητος λέγεται ἄνθρωπος, ἀλλὰ διὰ τὸ ἀνωθρεῖν τὴν ὄπα εἴρηται ἄνθρωπος, ὅτε πάντων τῶν ζώων εἰς γῆν ὁρώντων τοὺς ὀφθαλμούς, μόνος ὁ ἄνθρωπος ἀνωθρεῖ τὴν ὄπα, ἤγουν ὁρᾷ τοὺς ὀφθαλμούς, ὥστε καὶ αὐτὸς ἐκ τῆς ὀρθοπεριπατητικῆς ἐνεργείας λέγεται ἄνθρωπος. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τῆς ἀνορθοπεριπατητικῆς ἐνεργείας ἄνθρωπος ἐκλήθη, πάντων τῶν ζώων κατωκλινῶς κεκυφότων καὶ περιπατούντων. εἰ οὖν καὶ διὸ προσηγορίαι τῆς οὐσιώσεως τοῦ χριστοῦ, λέγω δὴ τό, θεὸς καὶ ἄνθρωπος ἐκ τῶν φυσικῶν αὐτῶν ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι, πῶς οὐκ αἰσχύνονται τινὲς ἀπαρνούμενοι τὰς δύο λέγειν ἐπ' αὐτοῦ ἐνεργείας, οἵτινες χρὴ εἰς πάσης γελαστικῆς ἢ ἐπικῆς κατασκευάσεως ἐξ αὐτῶν τῶν ὀνομάτων τοῦ χριστοῦ καταισχύνονται, ἐκ τοῦ θεὸς καὶ ἄνθρωπος. καθὰ γὰρ πρὸ βραχέως εἰρήκαμεν σχεδὸν πᾶσα φύσις ἐκ τοῦ οὐσιώδους αὐτῆς ἐνεργείας ἔχει τὴν οἰκείαν προσηγορίαν. οἷον τὸ λέγω, πῦρ θέος ἤγουν πυρθανός, κατὰ τὴν πύρωσιν θανατοῦν τῆς σαρκός. καὶ πάλιν ὁπηνίκα λέγομεν πρόβατον, οὐκ αὐτὴν τὴν φύσιν τοῦ ζώου, ἤγουν τῆς σαρκὸς αὐτοῦ τὴν ποιότητα ἐσημάναμεν, ἀλλὰ διὰ τὴν ἐνέργειαν ἣ διαπεράτεται. ἀπὸ γὰρ τοῦ πελάσθαι πέρα, εἴρηται πρόβατα, καὶ τὰ ἑξῆς, οὐ φυσικάς, ἀλλ' ἐνεργητικὰς ἔχουσι τὰς οἰκείας προσηγορίας. οἷον, ἔλαφος, ὁ ἔλοφος, διὰ τὸ κεῖν τοὺς ὄφεις. γε

ἀνωπεριπατητικῆς.

χελιδών, διὰ τὸ τὰ χείλη δονεῖν ἐν τῷ λαλεῖν. ὄφις, τουτέστιν ὁ ὄ-
φις, ἤγουν ὁ λαλήσας πρὸς τὴν Εὔαν ποτέ. δορκάς, ἐκ τοῦ ὀ-
ξέως δέρκειν καὶ ὁρᾶν. τρυγών, πελειών, ὅτι τηρεῖ τὸ οἰκεῖον
γένος μὴ διαμοιχεύεταί ποτε. ἀηδών, διὰ τὸ ἀεὶ ᾄδειν ἐν θέρει
καὶ ἐν χειμῶνι. γύψ, διὰ τὸ γυρεύειν τὰ ὕψη. ἵππος, διὰ
τὸ ἵπτασθαι ποσίν. ἐλέβορος, ἑλοῦσα, ἤγουν θανατοῦσα
βρώσεις. βορὰ γὰρ ἡ βρῶσις εἴρηται. αἰετός, ἀεὶ ἔτος, διὰ
τὸ πολλάκις ἀνακαινίζεσθαι καὶ πολλὰ ζῆν. πετεινόν, τὸ
ἐπὶ πτέρυγα τείνειν. ποταμός, ὡς πολέμιον ἔχων ἐνέργειαν.
χείμαρρος, ὁ ἐν τῷ χειμῶνι ῥέων. φύσις, ἐκ τοῦ φύειν τὰς
ὑποστάσεις. βοτάνη, ἐκ τοῦ βαδίζειν ἄνω. ὥσπερ καὶ τὸ ἄν-
θος, ἐκ τοῦ ἄνω θέειν ἤτοι τρέχειν. καὶ ἡ ψυχὴ δὲ ἐκ τῆς οἰκεί-
ας ἐνεργείας ἔχει τὴν τῆς ψυχῆς προσηγορίαν. ψύχειν γὰρ τὸ ζωο-
ποιεῖν λέγεται, οὐκοῦν ἐκ τῆς ζωοποιοῦ ἐνεργείας ἔχοντα
τὰς οἰκείας προσηγορίας. ἐνέργεια γάρ ἐστιν ἡ τῆς φύσεως
δύναμις. οὐ ταυτὸν δὲ ἐνέργεια καὶ ἐνεργητικὸν καὶ ἐνέρ-
γημα. ἐνεργητικὸν γὰρ εἴρηται αὐτὸ τὸ ὂν τὸ οὐσίας πρᾶ-
γμα. ἐνέργημα δὲ τὸ ἀποτέλεσμα, ὅπερ ἀποτελεῖ ἡ ἐνέρ-
γεια τοῦ ἐνεργοῦντος. ἐνέργημα θεοῦ ὁ ἄνθρωπος, ὁ ἄγγελος, καὶ
πᾶσα κτίσις. ἐνέργεια δὲ εἴρηται, διὰ τὸ ἐν ἔργοις εἶναι ἤ-
γουν φαίνεσθαι. διττῶς δὲ νοεῖται ἡ ἐνέργεια, λέγω δὴ νοε-
ρῶς καὶ αἰσθητῶς. αἰσθητὸν ἐστὶ τὸ ὁρώμενον καὶ ψηλαφώ-
μενον, τὸ ἀκουόμενον καὶ φθειρόμενον. νοητὸν δέ, τὸ ἄφθαρ-
τον καὶ αἰώνιον. νοερὸν δέ, τὸ τὰ νοήματα τὰ ἀόρατα ὁρᾶν.
ἐνέργεια κατὰ τὸ ἐνεργητικὸν ἤτοι πρακτικὸν εἴρηται. οὐ ταυ-

τοῦ ἐστι τὸ θέλημα καὶ θελητικοῦ καὶ τὸ θελητόν· θέλημα μὲν γάρ ἐστιν, οὐσίας νοερᾶς νοερὰ ὄρεξις· θελητικὸν δέ ἐστιν, ὃ τὴν θέλησιν ἔχει· θελητὸν δέ, τὸ ἀπ' αὐτοῦ ὄν· ἔστι :

ἐρ. τῶ. περὶ ἑνώσεως. Τί ἕνωσις· καὶ κατὰ τὶ εἴρηται ἕνωσις· καὶ ὁσαχῶς νοεῖται ἡ ἕνωσις :

ἀπὸ κῆ. Κατὰ ἕνωσις μέν ἐστι, δύο στοιχείων πρώτων καὶ ἀσυνθέτων ἑνωθέντων· ἕνωσις δ' εἴρηται διὰ τὸ εἰς ἓν ἄγειν, τουτέστι ἑνωτὰ τὰ πρώτα· πολλαχῶς δ' εἴρηται ἡ ἕνωσις· συζυγικῶς, ὡς ἡ τοῦ οἴνου καὶ τοῦ ὕδατος· διαιρετικῶς, ὡς ἡ ἀνὴρ πρὸς ἄνδρα· θετικῶς, ὡς τὰ ἐν τῇ αὐτῇ πίσσῃ· θετικῶς, ὡς ζυγὸν πρὸς ζυγόν. Ἐξ οὗ τοῦ ζυγὸν ἕνωσις, ὑπὸ πάλας ταύτας καὶ ὑποστάσεις εἰρῆσθαι. καὶ ὑπόστασις δ' ἕνωσίς ἐστιν, ἡ ἀμφυπαρκὴς αὐτῇ μὲν τῇ φύσει τοῦ ἑνὸς φύσεων ἑνωθεισῶν, οὐδενὸς δ' ἧττον τοῦ ἑτέρου ὑπάρχουσα, οὐδὲ ἡ ψυχή, ἀλλὰ σῶμα σαρξ, σῶμα ὀστοῦν· σῶμα σαρξ, ἔμψυχος ἀρχή. ἐν αὐτῷ γὰρ ὑπάρχει καθάπερ ἐμοὶ δοκεῖ καὶ ἡμῖν ἡ ψυχὴ ἀμφυπάρκτως ἑνωθεῖσα τῷ σώματι· οὐδὲν γὰρ σῶμα καθ' ἑαυτὸ ζωοποιεῖται, οὐδ' ἡ ψυχὴ πανταχοῦ τοῦ σώματος, πολυτρόπως οὖσα τῆς ἑνώσεως τοῦ ζῴου :

περὶ ὁμουσίου :

ἐρ. τῶ. Τί ὁμούσιον· καὶ κατὰ τὶ εἴρηται ὁμοούσιον· καὶ ὁσαχῶς τὸ ὁμούσιον :

ἀπὸ κῆ. Κατὰ ὁμούσιον μέν ἐστι, τὸ κατ' αὐτὴν οὐσίας καὶ ἐνεργείας ἀπλῶς ἁπλῶς ὑπάρχον· ὡς πρὸς γὰρ ἄνδρα ἀνήρ, καὶ ἄνθρωπος ἄνθρωπον, καὶ ζῷον ζῴου, καὶ φλὸξ φλογός, ἐν ᾗ καὶ φύσεις ὑποστάσεσι

μία οὐσία ὄντα. ὁμοούσιον δὲ λέγεται, ὃ τὴν ὁμοίαν οὐσίαν καὶ
δύναμιν κέκτηται. τετραχῶς δὲ εἴρηται τὸ ὁμοούσιον. ὁμο-
ούσιον, καὶ ὁμογενές, καὶ συγγενές, καὶ ὁμοφυές καὶ ὁμό-
φυλον. ὁμοούσιον ἐστι, τὸ τῇ δυνάμει ἐν τῇ αὐτῇ οὐσίᾳ ἐλατ-
τον. οἷον λίθος σαθρός, καὶ λίθος ἀκρότομος. ὁμοίως ξύλον-
φοίνικος, καὶ ξύλον ἐβέλινον, σὰρξ ἰχθύος, καὶ σὰρξ καμήλου.
ἑτεροούσιον ἐστι, τὸ κατὰ πάντα τρόπον τοῦ ἑτέρου ἀνόμοιον, ὡς
πῦρ καὶ ὕδωρ, καὶ ἄνθρωπος καὶ θεός, ὡς ἄγγελος καὶ πηλός, ὡς ἥλι-
ος πρὸς χλόην. ἡμιούσιον τινὲς εἰρήκασι τὴν σάρκα τὴν νεκρὰν
ζωῆς γνωρισμένην, καὶ ἑτεροφυές καὶ ἀλλογενές καὶ ἑτερογε-
νές τὸ ἑτέρας οὐσίας ὑπάρχον ἑκάτερον εἴρηται, τουτέστι τὸ
τε κἀκεῖνο ἤγουν ἀμφότερα. καινοτομία ἐστι, τὸ κατὰ πάν-
τα τρόπον παρηλλαγμένον τοῦ νόμου τῆς κοινῆς φύσεως,
καὶ ἐν μηδενὶ τῇ τῶν ἄλλων συνηθείᾳ ἐξομοιούμενον. τοῦτον
δὲ τὸν ὅρον ἀναγκαῖον ἐπίστασθαι, διὰ τοὺς κακῶς νοοῦν-
τας τὴν καινοτομίαν ἐν Χριστῷ. εἰ γὰρ ἐκαινοτόμησε τὴν φύ-
σιν ἀσπόρως γεννηθείς, ἀλλ' ὅμως μετὰ τὸν τόκον τὴν αὔ-
ξησιν τῆς ἡλικίας καὶ τὰ πολλὰ τὰ ἐν τῷ σώματι, καὶ τὰς
εἰσκρίσεις, καὶ περιτομήν, καὶ τὸ εἶδος, καὶ τὰ μέλη, καὶ
τὰς ἐκφύσεις τριχῶν τε καὶ ὀδόντων, καὶ ὀνύχων, καὶ ψελ-
λισμάτων, καὶ νηπιώδους περιπάτου. πάντα ταῦτα οὐκ ἦν
καινοτομίαν ἔχειν, ἀλλὰ καθ' ὁμοιότητα ἡμῶν, χωρὶς ἁμαρ-
τίας ὡς ὁ Παῦλος βοᾷ :-

περὶ ψυχῆς :-

Τί ψυχή. καὶ κατὰ τί εἴρηται ψυχή. καὶ ὁσαχῶς λέγεται ἡ ψυχή :- ἐρώτ.

Καὶ εἴρηται μὲν ἐν τῇ γραφῇ τῇ παλαιᾷ διττῶς ἡ ψυχή, τουτέστιν ἡ λογικὴ καὶ ἄλογος ἡ τῶν κτηνῶν καὶ τῶν λοιπῶν ἐμψύχων. ψυχὴ λογική ἐστιν, οὐσία νοερὰ ἀνώνυμος καὶ ἄγνωστος λογική, σώματος ζωτικὴ καὶ συστατική. ψυχή ἐστιν οὐσία λεπτὴ ἄϋλος καὶ ἀσχημάτιστος, εἰκὼν θεοῦ καὶ τύπος. ψυχὴ δὲ εἴρηται διὰ τὸ ψύχειν, ἤτοι διὰ τῆς οἰκείας ἐνεργείας ζωοποιεῖν τὸ σῶμα. ψυχὴ ἄλογός ἐστιν, ἡ τοῦ αἵματος ζωτικὴ καὶ κινητικὴ διὰ πνεύματος ὑλικοῦ ἐνέργεια. ψυχὴ κτηνώδης ἐστὶ δύναμις ὑλικὴ ἐνεργητική, καὶ αἰσθητικὴ σώματος συστατική. νοῦς λογικός ἐστιν αἴσθησις θεωρητική, ψυχῆς ἀθανάτου νοερᾶς. νοῦς ἐστιν ὅρασις ἀσώματος, ἀκαμάτως εἰς πᾶν διατρέχουσα:

Περὶ νοῦ:

Ὁ τελείως ὁ νοῦς, καὶ λέγομεν ὅτι τελείως νοῦς, θεὸς νοῦς καὶ ὁ ἄγγελος νοῦς καὶ ὁ ἡμέτερος. νοητόν ἐστι, τὸ διὰ τοῦ νοῦ νοούμενον. νοερὸν δέ, διὰ τὸ τὰ νοήματα θεᾶν. σῶμά ἐστι κατὰ μὲν τοὺς ἔξω, πᾶν τὸ τριχῆ διαστατόν, ἤτοι τὸ ἔχον μῆκος, καὶ πλάτος καὶ πάχος. κατὰ δὲ τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν, σῶμά ἐστι πᾶν τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γενόμενον, καὶ σώματα γὰρ ἐπουράνια, καὶ σώματα ἐπίγεια. τὰ οὖν ἐπουράνια οὐκ ἔχουσι πάχος. εἰδέναι μὲν δὴ προσήκει, ὅτι πᾶσα σὰρξ πρόδηλον ὅτι καὶ σῶμα εἴρηται. οὐ πᾶν δὲ σῶμα σὰρξ ὀνομάζεται. καὶ γὰρ οἱ ἀστέρες σώματα ἐπουράνια λέγονται, οὐ μὴν καὶ σάρκες ἐπουράνιοι. τὸ σῶμα μὲν οὖν εἴρηται διττῶς, ποτὲ μὲν ὑλικόν, ποτὲ δὲ ἄϋλον. σῶμα ὑλικόν ἐστι, τὸ διὰ ἁφῆς κρατούμενον, καὶ φθορᾷ ὑποκείμενον. σῶμα

τὸ ἄϋλον, τὸ ἀνέπαφον καὶ ἀψηλάφητον. σάρξ ἐστι στοιχείων
συνδρομή. σάρξ ἐστιν οὐσία ἀρχοῦσα ἐξ αἵματος καὶ φλέγματος,
καὶ χολῆς καὶ χυμοῦ συνισταμένη, ἤγουν ἐξ ἀέρος καὶ γῆς,
καὶ πυρὸς καὶ ὕδατος, τουτέστιν ἐκ θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ
καὶ ξηροῦ. ὁ ἥλιος τὸ θερμὸν καὶ ζωτικόν. ὁ ἀὴρ τὸ ψυχρόν. ἡ
γῆ τὸ ξηρόν. τὰ ὕδατα τὸ ὑγρόν· στοιχεῖον λέγεται. στοιχεῖόν ἐστιν
οὐσία ἁπλῆ, κτίσεως τετάρτη μοῖρα. ἡνίκα τοίνυν ἀκούσῃς
τοῦ παύλου λέγοντος, οὐκέτι γινώσκομεν χριστὸν κατὰ σάρκα,
νόει ὅτι σάρκα τὴν φθαρτὴν εἶπε. οὐ γὰρ εἴρηκεν οὐκέτι
γινώσκομεν χριστὸν κατὰ σῶμα, ἀλλὰ κατὰ σάρκα, τουτέστιν ὅτι
οὐκέτι ἐστὶν ἐν οὐσίᾳ ῥευστῇ: ~

περὶ αἰσθήσεως: ~

Αἰσθήσεις εἰσὶ παρ᾽ ἡμῖν πέντε, ὅρασις, ἀκοή, ὄσφρησις, γεῦ-
σις, καὶ ἀφή, ἤγουν ψηλάφησις. αἰσθητὸν οὖν ἐστι πᾶν τὸ μὲν
ἐκ τῶν πέντε τούτων αἰσθήσεων ὑποπίπτον. αἰσθητήριον δὲ τὸ
ὅλον τοῦ σώματος ὄργανον, τὸ τὰς αἰσθήσεις ἔχον. αἰσθητι-
κὸν δέ, πᾶν ζῶον αἴσθησιν φόβου καὶ θανάτου ἔχον. νοητὸν
οὖν ἐστι τὸ διαφεῦγον τὰς πέντε ἡμῶν αἰσθήσεις: ~

περὶ φθαρτοῦ: ~

Τί φθαρτόν. καὶ κατὰ τί εἴρηται φθαρτόν. τὸ ὅλως ἡ φθορά: ~ ἐρώτ(ησις).
Εἴρηται μὲν οὖν ἡ φθορὰ κατὰ δύο τρόπους ἐν τῇ θείᾳ γρα- ἀποκ(ρισις).
φῇ, τουτέστι σωματικῶς καὶ ψυχικῶς, ὡς ὅταν λέγῃ καὶ εἶδε
κ(ύριο)ς ὁ θ(εὸ)ς καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατεφθαρμένη τῇ ἁμαρτίᾳ. καὶ
αὖθις εἴρηται περὶ αὐτῶν, διεφθάρησαν καὶ ἐβδελύχθη-
σαν ἐν ἀνομίαις, τὸ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. λοιπὸν ἤνι

κἂν ἀκούσῃς διδασκάλου λέγοντος ἄφθαρτον τὸ σῶμα τοῦ Χ(ριστο)ῦ ὑπάρχειν πρὸ τοῦ σταυροῦ, νόησον ὅτι κατὰ τὴν φθορὰν τῆς ἁμαρτίας λέγει τὸ ἄφθαρτον ἤτοι ἀμίαντον, καὶ οὐ κατὰ λεπτότητά τινα καὶ ἀλλοιότητα τῶν ἡμετέρων σωμάτων. ἄφθαρτον γὰρ κυρίως ἐστὶ, τὸ ὑφ' ἑτέρας οὐσίας βλαβῆναι μὴ δυνάμενον. ἄφθαρτόν ἐστι τὸ καταπάντα ἄτρεπτον καὶ ἀνενδεὲς τὸ ἄτρωτον. τὸ δὲ πανάγιον σῶμα τοῦ Χ(ριστο)ῦ, τέτρωται καὶ ἐτρήθη τοῖς ἥλοις καὶ τῇ λόγχῃ, τὸ αἷμα καὶ ὕδωρ ἐξήλατε, καὶ ἐκ ζωῆς νεκρὸν γέγονε. φθαρτὸν δέ ἐστι πᾶν τὸ θανάτου δεκτικὸν τὸ ζωῆς χωριστικόν, ὡς φησὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, ἀσθένειά τε καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεών τε καὶ ἐνεργειῶν τε δυνάμεων. τινὲς δὲ εἶπον, ὅτι δυνάμει μὲν φθαρτὸν ἦν τὸ πανάγιον σῶμα τοῦ Χ(ριστο)ῦ, τουτέστι δεκτικὸν φθορᾶς. ἐνεργείᾳ δὲ διετηρήθη ἐν ἀφ(θαρσίᾳ) μένημα τε ὑπὸ τῆς θεότητος τοῦ λόγου ἄφθαρτον. καταφθορά ἐστιν ὅταν ἄλλη οὐσία δι' ἑτέρας ἀφανίζεται, ὥσπερ τὸ σῶμα ὑπὸ τῶν σκωλήκων:

Περὶ λόγου:

ἐρω(τησις). Τί λόγος. καὶ κατὰ τί εἴρηται λόγος. καὶ ὁσαχῶς ὁ λόγος:

ἀπο(κρισις). Εἴρηται μὲν οὖν ὁ λόγος τριχῶς. λόγος ἐνούσιος ὁ θεὸς λόγος. λόγος ἐνδιάθετος ὁ τῶν ἀγγέλων, καὶ ὁ ἐν τῇ ἡμετέρᾳ διανοίᾳ λαλῶν λόγος. λόγος καὶ ὁ προφορικὸς τῆς γλώττης. λόγος δὲ εἴρηται ἐκ τοῦ λέγειν. λόγος προφορικός ἐστιν, ἄγγελος νοήματος:

Χριστιανός ἐστιν ἀληθινὸς οἶκος θεολογικός, δι' ἔργων ἀγαθῶν τε δογμάτων εὐσεβῶν συνιστάμενος. αἱρετικός ἐστιν ὁ συκοφάντης καὶ κατήγορος ἀληθείας, ἀψευδὴς ὑπόληψις τῶν μὴ ὄντων:

Ἄτρεπτόν ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον. φυσικόν ἐστιν ἢ τὸ ἐν φύσει κείμενον, ἢ τὸ κατὰ κοινὴν καὶ καθολικὴν ἀκολουθίαν τε καὶ συνήθειαν γινόμενον, ἢ τὸ ἀληθῶς ἀληθὲς ἴσως εἰρόμενον. παρὰ φύσιν ἐστὶν ὃ ὁ θεὸς οὐχ οὕτως πεποίηκεν, ἢ ὅπερ ὅλως οὐ πεποίηκεν, οἷόν ἐστιν ἡ ἁμαρτία καὶ ὁ θάνατος, καὶ ὁ τομίας ἤγουν ὁ εὐνοῦχος. ὑπὲρ φύσιν ἐστὶ τὸ ὑπὸ κρείττονος οὗ λέγομεν μεταποιούμενον, οἷον κατὰ φύσιν ὁ γάμος, παρὰ φύσιν ἡ πορνεία, ὑπὲρ φύσιν ὁ τοῦ Χριστοῦ τόκος. θέωσίς ἐστιν ἡ ἐπὶ τὸ κρεῖττον ὕψωσις, οὐ μὴν φύσεως μείωσις ἢ μετάστασις. οἰκονομία ἐστὶν ἑκούσιος μεγέθους συγκατάβασις πρὸς σῶσαι τινῶν ἐπικαλουμένη. θεωθὲν λέγεται τὸ πρὸς μείζονα δόξαν ὑψωθέν, οὐ μὴν τῆς οἰκείας φύσεως ἀλλοιωθέν. ἡ σύγκρασις, ποτὲ μὲν τὴν ἕνωσιν, ποτὲ δὲ τὴν σύγχυσιν δηλοῖ. λύπη ἐστὶν ἔνδεια ὀρέξεως. ὄρεξις δέ ἐστιν ἡ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κίνησις. ἐπιθυμητικὸν δέ ἐστι τὸ θελητικόν, ὥστε τὴν λύπην τὴν ἐπαινετὴν ὁ Χριστὸς ἐν τῷ θελητικῷ μέρει τῆς ψυχῆς ἑκουσίως ἐδέξατο. λύπη γὰρ κατὰ τὸ λεῖπον εἴρηται. τὴν μὲν ἀληθείᾳ ἐλύπει τὸν Χριστὸν τὴν ἀπώλειαν Ἰούδα καὶ Ἰουδαίων τότε, ἣν καὶ ἐδάκρυσεν ἐν ἀληθινῇ αἰσθήσει ψυχῆς, λυπούμενος καὶ δεικνὺς τὸ φύσει φιλάνθρωπον. ἀδημονία ἐστὶ σκυθρωπότης ψυχῆς, διάθεσις ἐπὶ ἀτυχίᾳ τινὸς τῶν ποθουμένων γινομένη. ἐμβρίμησίς ἐστι ψυχῆς λογικῆς τοῦ θυμικοῦ μέρους ἐνέργεια. δειλία ἐστὶ συστολὴ ψυχῆς πρὸς ἑαυτὴν ἐπὶ προσδοκίᾳ τινὸς τῶν οὐ ποθουμένων συνισταμένη. αὐτεξούσιόν ἐστι τὸ ἀδέσποτον. τὸ γὰρ ὑπὸ δεσπότην ὄν, οὐκ ἔστιν αὐτεξούσιον

νιον, ἔτι αὐτεξουσιότης κυρίως ἐστὶν ἡ ἀκινήτως πρὸς τὸ
καταθύμιον ἀνεμποδίστως κίνησις. αὐτεξουσιότης ψυχῆς
νοερᾶς ἐστι θυμικοῦ ἢ ἐρωτικοῦ ἐκπίπτει καὶ κίνησις. ἔνθα γὰρ κα-
κίας καὶ ἀρετῆς προσβολὴ οὐ γίνεται, ἐπεὶ οὐδὲ αὐτεξουσιότης
τῆς ψυχῆς τότε εὑρίσκεσθαι δύναται. πῶς γὰρ ἂν καὶ φανήσεται ἡ αὐ-
τεξούσιος προαίρεσις, ἔνθα προσβολὴ ἐναντία οὐχ ὑφίσταται.
μόνος τοίνυν ὁ τοῦ Χριστοῦ νοῦς καὶ ἡ παναγία αὐτοῦ ψυχὴ ἀδέκτως
καὶ ἀνεπιδέκτως πάσης πονηρᾶς προσβολῆς γέγονε. μορφὴ
γὰρ δούλου ἦν χαλιναγωγουμένη καὶ δεσποζομένη ὑπὸ τοῦ
καθ᾽ ὑπόστασιν ἡνωμένου αὐτῇ τοῦ λόγου, διόπερ καὶ ἔλεγεν
ὁ κατὰ τὸν ἐνανθρωπούμενος(?) αὐτός, οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐ-
μαυτοῦ οὐδέν. ὑπὲρ τοὺς ὅρους καὶ νόμους τῆς ἡμετέρας φύ-
σεως ὑποστὰς ἀδιαφόρως ὡς θεός, τὸ σῶμα καὶ ψυχὴ ὢν τῆς τοῦ δε-
σπότου κυρίου ἐτύγχανεν ὑπεράγια ὡς θεωθείς. ποιότης
ἐστὶν ἐνούσιος δύναμις, ὡς τοῦ ὕδατος ἡ ψυχρότης, καὶ τοῦ
πυρὸς ἡ θερμότης, καὶ τοῦ λίθου ἡ σκληρότης, καὶ τῆς γῆς ἡ ξηρό-
της. ποιότης καὶ ἰδιότης καὶ διαφορὰ καὶ ἰδίωμα, ἓν καὶ τὸ
αὐτὸ σημαίνει. τετραμερές ἐστι τὸ σῶμα, ἐκ τεσσάρων στοιχείων
ὥσπερ τις κόσμος συνιστάμενον. τριμερὴς δὲ ἡ ψυχή, ἐν αὐτῇ
προτυποῦσα τὴν ἁγίαν τριάδα, ὥσπερ ἐν σώματι τινὶ μέλλου-
σαν ἐν τῷ νεκρωθέντι κόσμῳ φανερωθῆναι, καὶ τοῦτον τῇ θεογνω-
σίᾳ ζωοποιῆσαι. τριμερῆ δὲ λέγουσι τὴν ψυχὴν ἔχουσαν ὥσπερ
τινὰ στοιχεῖα νοερὰ τὰ ἑαυτῆς μέρη, δι᾽ ὧν καὶ συνίσταται, τοῦ-
τ᾽ ἔστι τὸ λογικόν, τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμικόν, ὅπως διὰ
μὲν τοῦ λογιστικοῦ λογίζηται τὴν ἀρετήν. διὰ δὲ τοῦ ἐπιθυμη-

τικοῦ, ἀγαπᾷ τὸν θεόν· διὰ δὲ τοῦ θυμικοῦ, ὀργίζεται τοῖς δαίμοσιν, ἀνδριζομένη κατ᾽ αὐτῶν· ὥσπερ οὖν ἀδύνατον εἶναι σῶμα μὴ ἔχον τὰ τέσσαρα στοιχεῖα, οὕτως ἀδύνατον εἶναι ψυχὴν μὴ ἔχουσαν τὰ τρία μέρη, δι᾽ ὧν καὶ συνέστηκεν :-

Περὶ τοῦ οἰκονομικῶς :-

Τὸ οἰκονομικῶς ἐπὶ Χριστοῦ, κατὰ τρεῖς δύναται νοεῖσθαι τρόπους, τουτέστιν ἢ ὡς χάριν τῆς οἰκονομίας, ὡς ὅταν λέγομεν οἰκονομικῶς ἐθήλασε καὶ ἐνηπίασε καὶ ηὔξησεν ὁ Χριστός, τὸ ἐκοιμήθη καὶ ἐπείνασε, τουτέστι κατὰ τὴν φύσιν τῆς σαρκὸς τῆς οἰκονομίας αὐτοῦ· λέγομεν πάλιν οἰκονομικῶς καὶ ὅτε γίνεταί τι πρᾶγμα οὐ πάντως ὀφεῖλον γενέσθαι· γίνεται δὲ διὰ συγκατάβασιν καὶ σκοπὸν σωτηρίας τινῶν, ὡς ὅταν ὁ Παῦλος περιέτεμε τὸν Τιμόθεον βουλόμενος ἐπισπάσασθαι τοὺς Ἰουδαίους, διὸ καὶ συνηγνίζεν ἑαυτόν· καὶ ἡ περιτομὴ δὲ τοῦ Χριστοῦ κατὰ τοῦτον τὸν τρόπον γέγονεν οἰκονομικῶς, ἵνα μὴ φανῇ καταλύων τὸν νόμον· ἔστι δὲ πάλιν οἰκονομικὸν ὅταν ἦλθεν εἰς τὴν συκῆν ἀπὸ πρωΐας πεινῶν καὶ ἐξήρανεν αὐτήν, τὸ ἦλθε πρὸς τοὺς μαθητὰς αὐτοῦ νυκτὸς περιπατῶν ἐπὶ τῶν ὑδάτων διά τινας οἰκονομίας ἀποκρύφους. οἱ οὖν αἱρετικοὶ ἀφέντες τὸ κατὰ τούτους τοὺς τρόπους νοεῖν τὸ οἰκονομικόν, τὸ ὡς ἐν φαντασίᾳ καὶ δοκήσει γενόμενον λέγουσιν :-

Ἰστέον ὅτι αἱ σύνθετοι φύσεις, ὡς σύνθετοι πεφύκασιν εἶναι καὶ εὐδιάλυτοι, ὥς φησι Γρηγόριος ὁ θεολόγος, ὅτι σύνθεσις ἀρχὴ διαστάσεως· διὰ τοῦτο γοῦν τὰ σώματα καὶ ἀνθρώπων τε ζώων εὔφθαρτα καὶ εὔθνητα τυγχάνουσιν, ὡς ἐκ τεσσά-

ρων φύσεων στοιχείων συγκείμενα, τὰ οἱονεὶ τῶν στοιχείων πρὸς ἄλληλα ἐναντίως ἐχόντων καὶ στασιαζόντων. τὰ δὲ ἁπλᾶ καὶ ἀσύνθετα τῶν πραγμάτων εὐδαίμονα, καὶ ἕως τῆς συντελείας ἀκατάλυτα μένει· οἷον ψυχὴ ἀνθρώπου· ἥλιος· φῶς· φωστῆρες· ἀήρ· ὕδατα· πῦρ· πνεῦμα· καὶ πάντα τὰ ἁπλᾶ καὶ ἐνιαῖα καὶ ἀμιγῆ καὶ ἀσύνθετα. ὅθεν καὶ τὰ φυτὰ καὶ δένδρα, ὡς διὰ τῶν τεσσάρων στοιχείων συνιστάμενα, λέγω δὴ γῆς καὶ ὕδατος, ἡλίου καὶ ἀέρος· καὶ αὐτὰ οὐκ ἀγήρατα, οὐδὲ ἄφθαρτα οὐδὲ ἀμάραντα ἕως τέλους διαμένει, ἀλλὰ θνήσκει καθὰ καὶ τὰ σώματα. ὡς γὰρ καὶ ἡ γῆ συνίσταται. ποιητὸν ὁ πλίνθος συνθετὸν ἐκ γῆς τε ὕδατος, καὶ εὐχερῶς φθείρεται :~

Περὶ ἐτυμολογίας :~

Ἐτυμολογία ἐστὶν ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης, ἢ αὐτὸ τοῦ ὀνόματος ἑρμηνευομένη. οἷον λέγω, εἰρήνη, κατὰ τὸ ἠρεμεῖν τὸν νοῦν. ὥσπερ πάλιν ταραχή, διὰ τὸ ἔξω χεῖσθαι. καὶ πλάνη, κατὰ τὸ πλανιάζειν τὸν νοῦν· σωφροσύνη, κατὰ τὸ σῶα φρονεῖν, ἢ διὰ τὸ σῶμα φρουρεῖν ἀπὸ ῥύπου. ἀνάστασις, ἄνω στάσις ἤτοι ἔγερσις. φθορά, ἐκ τοῦ φθείρεσθαι ἔσω ἤτοι σήπεσθαι εὐχερῶς. φθείσεως γὰρ ἡ σῆψις ἐστί. χρῶς, ἐν ᾧ τὸ σῶμα ἔχει· σῶμα, τὸ ὂν αἷμα· αἷμα, ἐκ τοῦ ἅμα· μέλη, ὡς ἵνα εἴπῃς μέρη· κοινωνία, ἐκ κοινῶν ἰέναι τὰ μέρη· στῆθος, σταυρός, στάσις καὶ εὖρος ἤτοι μῆκος καὶ πλάτος· εὖρος γὰρ τὸ πλάτος ἐστί. θυσιαστήριον, τὸ τὴν θυσίαν τηροῦν· κρανίον, ἐν ᾧ κρέμαται ὁ νοῦς :~

Ἰστέον ὅτι καὶ αἱ δύο προσηγορίαι τοῦ Χριστοῦ, λέγω δὴ τὸ θεὸς καὶ ἄνθρωπος,

ἐνεργητικῶς λέγονται, ἐκ τῶν οἰκείων αὐτῶν ἐνεργειῶν οὕτως ὀνομασθέντα. καὶ γὰρ τὸ θεὸς οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει, ἀκατάληπτος γὰρ αὕτη καὶ ἀνώνυμος ἡμῖν, ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας θεὸς εἴρηται, ὥς φησιν ὁ ἅγιος Διονύσιος, ἢ ἐκ τοῦ θέειν ἤγουν διατρέχειν καὶ φλογίζειν. ὁμοίως καὶ τὸ ἄνθρωπος, οὐκ αὐτὴν τὴν φύσιν δηλοῖ, ἀλλὰ τὸ ἄνω θρεῖν τὴν ὄπα, τουτέστιν ἄνω ὁρᾷν τὴν τῶν ὀφθαλμῶν ἐνέργειαν. εἰ οὖν καὶ αἱ δύο προσηγορίαι τῶν β' φύσεων ἐκ τῶν οἰκείων ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι, θάμβος τῆς τῶν αἱρετικῶν πωρώσεως, πῶς τὰς οὐσιώδεις αὐτοῦ ἐνεργείας ἀπαρνούμενοι οὐκ αἰσχύνονται:

Ἀνατροπὴ τῆς καθαιρέσεως τοῦ πολυθρυλλήτου προβλήματος πάντων τῶν μονοφυσιτῶν φασκόντων, ὡς οὐκ ἔστι φύσις ἀνυπόστατος:

Οἱ λέγοντες δύο γεννήσεις ἐπὶ Χριστοῦ, τουτέστι τὴν προαιώνιον ἐκ πατρὸς κατὰ τὴν θεότητα, καὶ τὴν ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, εἴπατε ἡμῖν εἰ ἔστι τόκος ἀνυπόστατος, καὶ λέγομεν ὑμῖν εἰ ἔστι φύσις ἀνυπόστατος. κυρίως γὰρ τόκος ἐστὶ προσθήκη ὑποστάσεως. οὐκοῦν ὥσπερ ἐν τῇ μιᾷ τοῦ Χριστοῦ ὑποστάσει γενόμεναι αἱ δύο γεννήσεις, οὐκ ἐποίησαν αὐτῷ προσθήκην ὑποστάσεως, οὕτως οὐδὲ ἐκ τῶν δύο καθ' ὑπόστασιν ἡνωμένων φύσεων προσθήκην προσώπου ἐδέξατο. λοιπὸν ἡνίκα ἡμῖν ἀποροῦσι λέγοντες αἱρετικοί, ὅτι ἔστι φύσις ἀνυπόστατος; ἀντερωτῶμεν αὐτούς, εἰ ἔστι τόκος ἀπρόσωπος. ἔνθα γὰρ καινὸς τόκος, ἐκεῖ καὶ προσθήκη προσώπου γνωρίζεται:

Περὶ τῆς νοερᾶς καὶ ἀσωμάτου φύσεως. καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑπὸ τοῦ δημιουργοῦ παρήχθησαν: —

Πάντες σχεδὸν οἱ κατὰ τὴν οἰκουμένην διδάσκαλοι τῆς ἐκκλησίας, πᾶσαν τὴν νοερὰν καὶ ἀγγελικὴν φύσιν ἐκ μὴ ὄντων ὑπὸ τοῦ πάντων δημιουργοῦ προϋφεστάναι τοῦδε τοῦ κόσμου διδάσκουσι. καὶ ὁ μέγας Βασίλειος ἐν τῇ κατ' αὐτὸν ἑξαημέρῳ φησὶν οὕτως. ἦν γάρ τι, ὡς ἔοικε, πρὸ τοῦ κόσμου τούτου, ὃ τῇ μὲν διανοίᾳ ἡμῶν ἐστὶ θεωρητόν, ἀνιστόρητον δὲ κατελείφθη, διὰ τὸ τοῖς εἰσαγομένοις ἔτι καὶ νηπίοις κατὰ τὴν γνῶσιν ἀνεπιτήδειον. ἦν τις πρεσβυτέρα τῆς τοῦ κόσμου γενέσεως κατάστασις, ταῖς ὑπερκοσμίαις δυνάμεσι πρέπουσα, ἡ ὑπέρχρονος, ἡ ἀΐδιος. δημιουργήματα δὲ ἐν αὐτῇ ὁ τῶν ὅλων κτίστης καὶ δημιουργὸς ἀπετέλεσε, φῶς νοητόν, πρέπον τῇ μακαριότητι τῶν φιλούντων τὸν κύριον, τὰς λογικὰς καὶ ἀοράτους φύσεις, καὶ πᾶσαν τὴν τῶν νοητῶν διακόσμησιν. ὅσα τε τὴν ἡμετέραν διάνοιαν ὑπερβαίνει, ὧν οὐδὲ τὰς ὀνομασίας ἐξευρεῖν δυνατόν, ταῦτα τοῦ ἀοράτου κόσμου ἀποπληροῖ τὴν οὐσίαν, ὡς διδάσκει ἡμᾶς Παῦλος λέγων, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, εἴτε δυνάμεις, εἴτε ἀγγέλων στρατιαί, εἴτε ἀρχαγγέλων ἐπιστασίαι. ὅτε δὲ ἔδει καὶ τὸν κόσμον τοῦτον ἐπεισαχθῆναι τοῖς οὖσι, προηγουμένως μὲν διδασκαλεῖον καὶ παιδευτήριον τῶν ἀνθρώπων ψυχῶν. ἔπειτα μέντοι καὶ ἁπαξαπλῶς πάντων τῶν ἐν γενέσει

καὶ φθορᾶς ἐπιτήδειον ἐνδιαίτημα· συμφυὴς ἄρα τῷ κόσμῳ καὶ τοῖς ἐν αὐτῷ ζώοις τε καὶ φυτοῖς ἡ χρόνου διέξοδος ὑπέστη, ἐπειγομένη ἀεὶ καὶ παραρρέουσα καὶ μηδαμοῦ παυομένη τοῦ δρόμου. καὶ μετὰ ταῦτα. Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανόν, τουτέστιν ἐν ἀρχῇ ταύτῃ τῇ κατὰ χρόνον. οὐ γὰρ δὴ τῇ κατὰ πρεσβυγένειαν πάντων τῶν γενομένων προέχειν αὐτὸν μαρτυρῶν λέγει ἐν ἀρχῇ γεγονέναι, ἀλλὰ μετὰ τὰ ἀόρατα καὶ νοούμενα τῶν ὁρατῶν τούτων καὶ αἰσθήσει ληπτῶν, τὴν ἀρχὴν τῆς ὑπάρξεως διηγεῖται :—

Γρηγορίου τοῦ θεολόγου :—

Ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τοῦτο, τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ᾿ ἔδει χυθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα. τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος. πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον καὶ πνεύματι τελειούμενον, καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην, ὅτι ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. βούλομαι μὲν εἰπεῖν ὅτι ἀκινήτους πρὸς τὸ κακὸν καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ θεὸν οὔσας καὶ τὰς πρώτας ἐκ θεοῦ λαμπομένας. τὰ γὰρ ἐνταῦθα δευτέρας ἐλλάμψεως. πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους ὑπολαμβάνειν ταύτας καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα ἑωσφόρος σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος· αἵ τε ὑπ᾿ αὐτοῦ ἀποστατικαὶ δυνάμεις,

δημιουργεῖ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ καὶ τῇ ἐμῇ πρὸς ξένον·
οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ καὶ διακόσμος ὑπέστη κόσμος, ὡς
ἐμὲ νοῦ περὶ τούτων φιλοσοφῆσαι μικρῷ λόγῳ τὰ μεγάλα σταθμώ-
μενον. ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ κό-
σμον ὑλικὸν καὶ ὁρώμενον, καὶ οὗτός ἐστι τὸ ἐξ οὐρανοῦ καὶ γῆς
καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκειμα. ἐπαινετὸν μὲν τῆς κα-
θ᾽ ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ τῆς ἐκ πάντων εὐαρμο-
στίας καὶ συμφωνίας. ἄλλου πρὸς ἄλλο καλῶς ἔχοντος, καὶ
πάντων πρὸς ἅπαντα εἰς ἑνὸς κόσμου συμπλήρωσιν, ἵνα
δείξῃ μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντῃ ξένην
ὑποστήσασθαι δυνατὸς ὤν :-

Καισαρίου ἀδελφοῦ τοῦ θεολόγου :-

Πᾶσαι γὰρ ἐν φωτὶ διῆγον αἱ ἄσαρκοι τῶν ἀγγέλων χορεῖαι, καὶ πρὸ
τοῦ γενέσθαι τὸν κόσμον :-

Ἀναστασίου ἀντιοχείας :-

Ἐν ἀρχῇ ἦν ὁ θεός, καὶ ὁ θεὸς ἦν ἐν ἀρχῇ, καὶ πρὸ ἀνάρχου ἀρχῆς
ἦν οὐδέν, καὶ ἔστι καὶ ἔσται ὁ θεός. τὸν λέγω τὴν ἁγίαν καὶ ὁμο-
ούσιον καὶ ἄκτιστον τριάδα πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος. οὗτος ὁ θεὸς
ἡμῶν ὁ ἀεὶ ὤν, καὶ προών, καὶ πρὸ πάντων προών, ταῖς προ-
ανάρχοις αὐτοῦ καὶ παναχράντοις θεοβουλίαις πρῶτον πᾶ-
σαν κτίσιν ἐννοεῖ καὶ ποιεῖ τὰς ἀγγελικὰς δυνάμεις ὅτε οἶδε,
καὶ ὅπου οἶδε, καὶ ὡς ἂν οἶδε, καὶ ὡς μόνος αὐτὸς οἶδεν, ὧν
τὴν οὐσίαν καὶ τὴν τάξιν καὶ τὸν ἀριθμὸν καὶ τὴν διαγωγὴν
καὶ τὴν ἰδέαν, μόνος αὐτὸς ὁ τούτων ποιητὴς γινώσκει θεός.
ἐκ τούτων δὴ τῶν ἀσωμάτων ταξίαρχος ἀλαζονευθεὶς κατὰ τοῦ

ὁ δημιουργοῦ ὡς φησὶν ἡσαΐας καὶ ἰεζεκιὴλ οἱ προφῆται, ἀ-
πεῤῥίφη καὶ ἔπεσε ἔξω τῶν ταγμάτων αὐτοῦ ὁ καλούμενος νῦν
διάβολος καὶ οἱ δαίμονες οἱ σὺν αὐτῷ. δημιουργηθέντος οὖν
τοῦ θεοῦ τοῦ ὁρωμένου κόσμου, λέγω δὴ τοῦ οὐρανοῦ καὶ τὴν γῆν καὶ
τὰ ἐν αὐτῇ, ἐνόμιζεν ὁ διάβολος ὡς φασί τινες τῶν διδασκάλων,
ὅτι αὐτὸν μέλλει καθιστᾶν ὁ θεὸς βασιλέα καὶ κύριον τῆς ὁρατῆς κτί-
σεως. ὅτε δ' εἶδε τὸν ἀδὰμ γενόμενον καὶ κατασταθέντα ὑπὸ
τοῦ θεοῦ δεσπόζειν τῶν ἐπὶ γῆς, διαπονηθεὶς καὶ φθονήσας τῷ
αὐτῷ ὁ πονηρὸς ἠπάτησεν αὐτὸν διὰ τῆς εὔας καὶ τοῦ ξύλου,
εἴτε κατὰ παραχώρησιν θεοῦ, εἴτε καθ' ἕτερόν τινα μυστικώτερον
τρόπον, ὃν θεὸς ἔγνωσεν. οὐ γὰρ δεῖ ἡμᾶς περιεργάζεσθαι τὰ σε-
σιωπημένα τῆς θείας γραφῆς, λέγω δὴ τὰ περὶ παραδείσου καὶ
τοῦ ξύλου τῆς γνώσεως καὶ τῶν χιτώνων, καὶ ἑτέρων τινῶν τοιού-
των μὴ σαφῶς δεδηλωμένων ἡμῖν ἐν ταῖς ἱεραῖς βίβλοις:

Διονυσίου ἐπισκόπου ἀθηνῶν, περὶ τοῦ,
τίνες αἱ μορφωτικαὶ τῶν ἀγγελικῶν δυνάμεων εἰκόνες:

Φέρε δὴ λοιπὸν ἀναπαύοντες ἡμῶν εἰ δοκεῖ τὸ νοερὸν ὄμμα,
τῆς περὶ τὰς ἑνικὰς ὑψηλὰς θεωρίας ἀγγελοπρεποῦς συντονίας,
ἐπὶ τὸ διαιρετὸν καὶ πολυμερὲς πλάτος τῆς πολυειδοῦς τῶν ἀγγε-
λικῶν μορφοποιιῶν ποικιλίας καταβάντες, πάλιν ἀπ' αὐτῶν ὡς
ἀπ' εἰκόνων ἐπὶ τὴν ἁπλότητα τῶν οὐρανίων νόων ἀναλυτικῶς
ἀνακάμπτωμεν. ἀρκτέον δὲ τοῦ λόγου, καὶ ζητητέον ἐν πρώτοις
τῶν τύπων ἀνακαθάρσεων, δι' ἣν αἰτίαν ἡ θεολογία σχεδὸν πα-
ρὰ πάντας εὑρίσκεται τιμῶσα τὴν ἐμπύριον ἱερογραφίαν.
εὑρήσεις γοῦν αὐτὴν οὐ μόνον τροχοὺς πυρώδεις διαπλάττου-

σαν, ἀλλὰ καὶ ζῷα πεπυρωμένα καὶ ἄνδρας ὡς πῦρ ἐξαστράπτοντας, ἐπεὶ αὐτὰς τὰς οὐρανίους οὐσίας θημωνιὰς ἀνθράκων πυρὸς περιτιθεῖσαν, ποταμοὺς ἀλήκτῳ ῥοίζῳ πυριφλεγέθοντας. ἀλλὰ καὶ τοὺς θρόνους φασὶ πυρίνους εἶναι, καὶ αὐτοὺς δὲ τοὺς ὑπερτάτους σεραφὶμ ἐμπρηστὰς ὄντας ἐκ τῆς ἐπωνυμίας ἐμφαίνει, τὴν πυρὸς ἰδιότητα καὶ ἐνέργειαν αὐτοῖς ἀπονέμει, καὶ ὅλως ἄνω καὶ κάτω τὴν ἐμπύρειον μάλιστα ἐξαιρέτως τυποπλαστίαν:

Τί τὸ πυρῶδες:

Τὸ μὲν οὖν πυρῶδες ἐμφαίνειν οἶμαι τὸ τῶν οὐρανίων νόων θεοειδέστατον. οἱ γὰρ ἱεροὶ θεολόγοι τὴν ὑπερούσιον καὶ ἀμόρφωτον οὐσίαν ἐν πυρὶ πολλαχοῦ διαγράφουσιν, ὡς ἔχοντι τῆς θεαρχικῆς εἰ θέμις εἰπεῖν ἰδιότητος ἐν ὁρατοῖς εἰκόνα. τὸ γὰρ αἰσθητὸν πῦρ ἔστι μὲν ὡς εἰπεῖν ἐν πᾶσι καὶ διὰ πάντων ἀμιγῶς φοιτᾷ, καὶ ἐξῄρηται πάντων, καὶ παμφαὲς ὂν ἅμα καὶ ὡς κρύφιον ἄγνωστον. αὐτὸ καθ' αὑτὸ μὴ προκειμένης ὕλης, εἰς ἣν ἀναφαίνει τὴν οἰκείαν ἐνέργειαν, ἄσχετόν τε καὶ ἀθεώρητον, αὐτοκρατητικὸν ἁπάντων, καὶ τὰ ἐν οἷς ἐγγίνεται πρὸς τὴν οἰκείαν ἐνέργειαν ἀλλοιωτικόν. μεταδοτικὸν αὐτοῦ πᾶσι τοῖς ὁπωσοῦν πλησιάζουσιν. ἀνανεωτικὸν τῇ ζωοπύρῳ θερμότητι. φωτιστικὸν ταῖς ἀπαρακαλύπτοις ἐλλάμψεσιν. ἀκράτητον. ἀμιγές. διακριτικόν. ἀναλλοίωτον. ἀνωφερές. ὀξύρροπον καὶ ὀξύπορον. ὑψηλόν. οὐδεμιᾶς ἀνεχόμενον ὑποπεζίας ὑφέσεως. ἀεικίνητον. αὐτοκίνητον. κινητικὸν ἑτέρων. περιληπτικόν. ἀπερίληπτον. ἀπροσδεὲς ἑτέρου. λανθανόντως αὐξητι-

κὸν ἑαυτοῦ, καὶ πρὸς τὰς ὑποδεχομένας ὕλας ἐμφαῖνον τὴν ἑαυτοῦ μεγαλειότητα· δυνατόν· ἅπασι παρὸν ἀοράτως· ἀμελούμενον οὐκ εἶναι δοκοῦν· τῇ τρίψει δὲ καθάπερ τινὶ ζητήσει συμφυῶς καὶ οἰκείως ἐξαίφνης ἀναφαινόμενον, καὶ αὖθις ἀκαταλήπτως ἀφιπτάμενον· ἀμείωτον ἐν πάσαις ταῖς πανολβίοις αὐτοῦ μεταδόσεσι· καὶ πολλὰς ἄν τις εὕροι τοῦ πυρὸς ἰδιότητας, οἰκείας ὡς ἐν αἰσθηταῖς εἰκόσι θεαρχικῆς ἐνεργείας· τοῦτο γοῦν εἰδότες οἱ θεόσοφοι τὰς οὐρανίους οὐσίας ἐκ πυρὸς διαπλάττουσιν, ἐμφαίνοντες αὐτῶν τὸ θεοειδὲς καὶ ὡς ἐφικτὸν θεομίμητον :-

Τὸ αὐτό, καὶ τὸ ἀνθρωποειδές :-

Ἀλλὰ καὶ ὡς ἀνθρώπους αὐτοὺς ἀναγράφουσι διὰ τὸ νοερὸν καὶ πρὸς τὸ ἄνω τὰς ὀπτικὰς ἔχειν δυνάμεις, καὶ τὸ τοῦ σχήματος εὐθὺ καὶ ὄρθιον, καὶ τὸ κατὰ φύσιν ἀρχικὸν καὶ ἡγεμονικόν, καὶ τὸ κατ' αἴσθησιν, ὡς πρὸς τὰς λοιπὰς τῶν ἀλόγων ζώων δυνάμεις· κρατητικὸν ὅπερ πάντων τῇ τοῦ νοῦ κατὰ περιουσίαν δυνάμει, καὶ τῇ κατὰ λογικὴν ἐπιστήμην ἐπικρατείᾳ, τὸ κατὰ τὸ φύσει τῆς ψυχῆς ἀδουλώτῳ τε ἀκρατήτῳ :-

Τὸ αὐτό, περὶ τοῦ, τί οἱ ὀφθαλμοί :-

Τὰς δὲ ὀπτικὰς δυνάμεις ἐμφαίνειν φασὶ τὴν πρὸς τὰ θεῖα φῶτα διειδέστατον νεῦσιν, καὶ αὖθις τὴν ἁπαλὴν καὶ ὑγρὰν καὶ οὐκ ἀντίτυπον, ἀλλ' ὀξυκίνητον καὶ καθαρὰν καὶ ἀναπεπταμένην ἀπαθῶς ὑποδοχὴν τῶν θεαρχικῶν ἐλλάμψεων :-

Τί αἱ ῥῖνες :-

Τὰς δὲ τῶν ὀσφραντικῶν διακριτικὰς δυνάμεις, τὸ τῆς ὑπὲρ νοῦν

εὐώδους διαδόσεως ὡς ἐφικτὸν ἀντιληπτικόν, καὶ τῶν μὴ τοιούτων ἐν ἐπιστήμῃ διακριτικόν, καὶ ὁλικῶς ἀποφευκτικόν:—

εἰς τὰ ὦτα:—

Τὰς δὲ τῶν ὤτων δυνάμεις, τὸ μεθεκτικὸν καὶ γνωστικῶς ὑποδεκτικὸν τῆς θεαρχικῆς ἐπιπνοίας:—

εἰς τὸ στόμα:—

Τὰς δὲ γευστικάς, τὴν τῶν νοητῶν τροφῶν ἀποπλήρωσιν, τὸ τῶν θείων καὶ τροφίμων ὀχετῶν ὑποδεκτικόν:—

εἰς τὴν ἁφήν:—

Τὰς ἁπτικὰς δὲ δυνάμεις, τὸ τοῦ προσφυοῦς ἢ τοῦ βλάπτοντος ἐν ἐπιστήμῃ διαγνωστικόν:—

εἰς τὰ βλέφαρα:—

Τὰ βλέφαρα δὲ καὶ τὰς ὀφρύας, τὸ τῶν θεοπτικῶν νοήσεων φρουρητικόν:—

εἰς τὴν ἀκμήν:—

Τὴν ἡβῶσαν δὲ καὶ νεανικὴν ἡλικίαν, τὸ τῆς ἐπακμαζούσης ἀεὶ ζωτικῆς δυνάμεως:—

εἰς τοὺς ὀδόντας:—

Οἱ ὀδόντες δέ, τὸ διαιρετικὸν τῆς ἐνδιδομένης τροφίμου ὕλης δηλαδή· ἑκάστη γὰρ οὐσία νοερὰ τὴν δωρουμένην αὐτῇ πρὸς τῆς θειοτέρας ἑνοειδῆ νόησιν, προνοητικῇ δυνάμει διαιρεῖ καὶ πληθύνει πρὸς τὴν τῆς καταδεεστέρας ἀναγωγικὴν ἀναλογίαν:—

εἰς τοὺς ὤμους:—

Τοὺς ὤμους δὲ καὶ τὰς ὠλένας καὶ αὖθις τὰς χεῖρας, τὸ ποι

ητικὸν καὶ ἐνεργητικὸν καὶ δραστήριον :

Τίς ἡ καρδία :

Τὴν δὲ καρδίαν σύμβολον εἶναι τῆς θεοειδοῦς ζωῆς, τὴν οἰκείαν ζωτικὴν δύναμιν ἀγαθοειδῶς εἰς τὰ προνοούμενα διασπειρούσης :

Τί τὰ στήθη :

Τὰ στέρνα δὲ αὖθις ἐμφαίνειν τὸ ἀδάμαστον καὶ τὸ φρουρητικόν, ὡς ὑποκειμένης τῆς καρδίας τῆς ζωτικῆς διαδόσεως :

Τί τὰ νῶτα :

Τὰ δὲ νῶτα, τὸ συνεκτικὸν τῶν ζωογόνων ἁπασῶν δυνάμεων :

Τί οἱ πόδες :

Τοὺς πόδας δὲ τὸ κινητικὸν καὶ ὀξὺ καὶ εὐτρεχὲς τῆς ἐπὶ τὰ θεῖα πορευτικῆς ἀεικινησίας, διὸ καὶ πτερωτοὺς ἡ θεολογία τοὺς τῶν ἁγίων νόων ἐσχημάτισε πόδας. Τὸ γὰρ πτερὸν ἐμφαίνει τὴν ἀναγωγικὴν ὀξύτητα, τὸ οὐράνιον καὶ τὸ πρὸς τὸ ἄναντες ὁδοποιητικόν, τὸ παντὸς χαμαιζήλου διὰ τὴν ἄνοδον ἐξῃρημένον :

Τί τὰ πτερά :

Ἡ δὲ τῶν ποδῶν ἐλαφρεία, τὸ κατὰ μηδὲν πρόσγειον, ἀλλ᾽ ὅλον ἀμιγῶς καὶ ἀβαρῶς ἐπὶ τὸ ὕψος ἀναγόμενον :

Τί ἡ γυμνότης :

Τὸ δὲ γυμνὸν καὶ ἀνυπόδετον, τὸ ἄφετον καὶ εὔλυτον καὶ ἄσχετον καὶ καθαρεῦον τῶν ἐκτὸς προσθήκης, καὶ τὸ πρὸς τὴν ἁπλότητα τὴν θείαν, ὡς ἐφικτόν, ἀφομοιωτικόν :

ἡ λαμπρὰ ἐσθής :-

Τὴν δὲ φαινὴν ἐσθῆτα καὶ τὴν πυρωπὴν, σημαίνειν οἴομαι, τὸ θεοειδὲς κατὰ τὴν πυρὸς εἰκόνα, καὶ τὸ φωτιστικὸν διὰ τὰς ἐν οὐρανῷ λήξεις, ὅπου τὸ φῶς, καὶ τὸ καθόλου νοητῶς ἐλλάμπον, ἢ νοητῶς ἐλλαμπόμενον :-

ἡ ἱερατική :-

Τὴν δὲ ἱερατικὴν πρὸς τὰ θεῖα καὶ μυστικὰ θεάματα, τὸ προσαγωγικὸν καὶ τῆς ὅλης ζωῆς ἀφιερωμένον :-

αἱ ζῶναι :-

Τὰς δὲ ζώνας, τὸ τῶν γονίμων αὐτῶν δυνάμεων φρουρητικὸν, καὶ τὸ τὴν συναγωγὸν αὐτῶν ἕξιν εἰς ἑαυτὴν ἑνιαίως συνεστράφθαι κύκλῳ μετ' εὐκοσμίας, ὡς ἂν ἀμεταπτώτῳ ταυτότητι, περὶ ἑαυτὴν συνελίττεσθαι :-

αἱ ῥάβδοι :-

Τὰς δ' αὖ ῥάβδους, τὸ βασιλικὸν καὶ ἡγεμονικὸν, καὶ εὐθέως τὰ πάντα περαῖνον :-

τὰ ὄργανα :-

Τὰ δὲ γεωργικὰ καὶ τεκτονικὰ σκεύη, τὸ θεμελιωτικὸν καὶ οἰκοδομητικὸν, καὶ ὅσα ἄλλα τῆς ἀναγωγοῦ καὶ ἐπιστρεπτικῆς εἶναι τῶν δευτέρων προνοίας. ἔστι δ' ὅτε καὶ τῆς εἰς ἡμᾶς θεοκρισίας, εἰσὶ σύμβολα τὰ πλαττόμενα τῶν ἁγίων ἀγγέλων ὄργανα. τῆς μὲν δηλουμένης ἐπανορθωτικὴν παιδείαν, ἢ ἐκδικοῦσαν δικαιοσύνην. τῆς δὲ περιστάσεως ἐλευθερίαν, ἢ παιδείας τέλος, ἢ προτέρας εὐπαθείας ἐπανάληψιν, ἢ προσθήκην ἑτέρων δωρεῶν μικρῶν, ἢ μεγάλων αἰσθητῶν ἢ νοητῶν. καὶ

ὅλως οὐκ ἂν ἀπορήσειεν ὁ διορατικὸς νοῦς, οἰκείως ἁρμόσαι
τοῖς ἀφανέσι τὰ φαινόμενα. :

τί οἱ ἄνεμοι :

Τὸ δὲ καὶ ἀνέμους αὐτοὺς ὀνομάζεσθαι, τὴν ὀξεῖαν αὐτῶν ἐμφαί-
νει καὶ ἐπὶ πάντα σχεδὸν ἀχρόνως διήκουσαν ποίησιν, καὶ
τὴν ἄνωθεν ἐπὶ τὰ κάτω, καὶ αὖθις ἐκ τῶν κάτω πρὸς τὸ ἄναντες
διαπορθμευτικὴν κίνησιν, τὴν ἀνατείνουσαν μὲν τὰ δεύτερα
πρὸς τὸ ὑπέρτερον ὕψος, κινοῦσαν δὲ τὰ πρῶτα πρὸς κοινωνικὴν
καὶ προνοητικὴν τῶν ὑφειμένων πρόοδον. Εἴποι δ' ἄν τις τὴν
τοῦ ἀερίου πνεύματος ἀνεμιαίαν ἐπωνυμίαν, καὶ τὸ θεοειδὲς τῶν
οὐρανίων νόων ἐμφαίνειν. Ἔχει γὰρ καὶ τοῦτο θεαρχικῆς ἐνεργείας
εἰκόνα καὶ τύπον, ὡς ἐν τῇ συμβολικῇ θεολογίᾳ κατὰ τὴν τε-
τράστοιχον ἀνακάθαρσιν ἡμῖν διὰ πλειόνων ἀποδέδεικται,
κατὰ τὸ τῆς φύσεως κινητικὸν καὶ ζωογόνον, καὶ τὴν ὀξεῖαν
καὶ ἀκράτητον χώρησιν καὶ τὴν ἄγνωστον ἡμῖν καὶ ἀόρατον
κρυφιότητα τῶν κινητικῶν ἀρχῶν καὶ ἀποπερατώσεων. Οὐ
γὰρ οἶδας φησί πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει :

αἱ νεφέλαι :

Ἀλλὰ καὶ νεφέλης αὐτοῖς εἶδος ἡ θεολογία περιπλάττει, ση-
μαίνουσα διὰ τούτου τοὺς ἱεροὺς νόας. τῷ μὲν κρυφίου
φωτὸς, ὑπερκοσμίως ἀποπληρουμένους. τὴν πρωτοφανῆ δὲ
θεοφάνειαν, ἀνεκπομπεύτως εἰσδεχομένους, ταύτην
ἀφθόνως εἰς τὴν δευτέραν δευτεροφανῶς καὶ ἀναλόγως
διαπορθμεύοντας. καὶ μὴν ὅτι τὸ γόνιμον αὐτοῖς καὶ ζωο-
ποιὸν καὶ αὐξητικὸν καὶ τελεσιουργὸν ἐνυπάρχει κατὰ τὴν νο-

πτὴν ὁμοειδῆ σκιάν, τὴν τοῦ ἐκδόχιον κόλπου περιελίοις ὑετοῖς ἐπὶ ζωτικὰς ὠδῖνας ἐγκαλουμένη :—

Τί τὰ δόρατα :—

Τὰ δὲ δόρατα καὶ τοὺς πελέκεις, τὸ τῶν ἀνομοίων διαιρετικόν, καὶ τὸ τῶν διακριτικῶν δυνάμεων ὀξύ, τὸ ἐνεργὲς τὸ δραστήριον :—

Τί ὁ χαλκός :—

Εἰ δὲ χαλκοῦ καὶ ἠλέκτρου καὶ λίθων πολυχρωμάτων εἴδη ἡ θεολογία ταῖς οὐρανίαις οὐσίαις περιτίθησι, τὸ μὲν ἤλεκτρον, ὡς χρυσοειδὲς ἅμα καὶ ἀργυροειδές, ἐμφαίνει τὴν ἄσηπτον ὡς ἐν χρυσῷ καὶ ἀδαπάνητον καὶ ἀμείωτον καὶ ἄχραντον διαύγειαν, καὶ τὴν φαεινήν, ὡς ἐν ἀργύρῳ καὶ φωτοειδῆ καὶ οὐράνιον αἴγλην. τῷ δὲ χαλκῷ κατὰ τοὺς ἀποδοθέντας λόγους, ἢ τὸ πυρρῶδες, ἢ τὸ χρυσοειδὲς ἀπονεμητέον :—

Τί αἱ χροιαὶ τῶν λίθων :—

Τὰς δὲ τῶν λίθων πολυχρωμάτους ἰδέας, ἐμφαίνειν οἰητέον ἢ ὡς λευκὰς τὸ φωτοειδές, ἢ ὡς ἐρυθρὰς τὸ πυρρωειδές, ἢ ὡς χλωρὰς τὸ νεανικὸν καὶ ἀκμαῖον. καὶ καθ' ἕκαστον εἶδος εὑρήσεις ἀναγωγικὴν τῶν τυπικῶν εἰκόνων ἀνακάθαρσιν. ἀλλ' ἐπειδὴ ταῦτα κατὰ δύναμιν ἀρκούντως εἰρῆσθαι νομίζω, μετιτέον ἐπὶ τὴν ἱερὰν ἀνάπτυξιν τῆς τῶν οὐρανίων νόων ἱεροτύπου θηριομορφίας :—

Τί τὸ λεοντῶδες :—

Λέοντα μὲν γὰρ ἐμφαίνειν οἰητέον, τὴν κρυφιότητα τῆς ἀφθέγμονος θεαρχίας ὅση δύναμις, ἀφομοιοῦται τῇ τῶν ἱερῶν ἰχνῶν περικαλύψει, καὶ τῇ μυστικῶς ἀνεκπομπεύτῳ περιστολῇ, τῆς κ

θείαν ἔλλαμψιν ἐπ' αὐτὴν ἀναλυτικῆς πορείας :—

Τί τὸ βοῶδες :—

Τὴν δὲ τοῦ βοὸς, τὸ ἰσχυρὸν καὶ ἀκμαῖον, καὶ τὸ εἰς τὰς νοερὰς αὔλακας ἀνευρῦνον, εἰς ὑποδοχὴν τῶν οὐρανίων καὶ γονιμοποιῶν ὄμβρων. καὶ τὰ κέρατα, τὸ φρουρητικὸν καὶ ἀκαταμάχητον :—

Τί τὸ ἀετῶδες :—

Τὴν δὲ τοῦ ἀετοῦ, τὸ βασιλικὸν καὶ ὑψίφοιτον καὶ ταχυπετὲς, καὶ τὴν πρὸς τὴν δυναμοποιὸν τροφὴν, ὀξὺ καὶ νῆφον καὶ εὐτρεχὲς καὶ εὐμήχανον. καὶ τὸ πρὸς τὴν ἄφθονον καὶ πολύφωτον ἀκτῖνα τῆς θεαρχικῆς ἡλιοβολίας, ἐν ταῖς τῶν ὀπτικῶν δυνάμεων εὐρώστοις ἀνατάσεσιν ἀνεμποδίστως καὶ εὐθὺ, καὶ ἀκλινῶς θεωρητικόν :—

Τί οἱ ἵπποι :—

Τὴν δὲ τῶν ἵππων, τὸ εὐπειθὲς καὶ εὐήνιον. λευκῶν μὲν ὄντων, τὸ λαμπρὸν καὶ ὡς μάλιστα τοῦ θείου φωτὸς συγγενές. κυανῶν δὲ ὄντων, τὸ κρύφιον. ἐρυθρῶν δὲ, τὸ πυρρῶδες καὶ δραστήριον. συμμίκτων δὲ ἐκ λευκοῦ καὶ μέλανος, τὸ τῇ διαπορθμευτικῇ δυνάμει τῶν ἄκρων συνδετικὸν, καὶ τὰ πρῶτα τοῖς δευτέροις, καὶ τὰ δεύτερα τοῖς πρώτοις ἐπιστρεπτικῶς ἢ προνοητικῶς συνάπτον :—

Τί τὸ θυμοειδές :—

Τὸ μὲν θυμοειδὲς αὐτῶν, εἰς τὴν νοερὰν ἀνδρείαν, ἧς ἐστιν ὁ θυμὸς ἔσχατον ἀπήχημα. τὴν δὲ αὖ ἐπιθυμίαν, εἰς τὸν θεῖον ἔρωτα. καὶ συλλήβδην εἰπεῖν, ἁπάσας τὰς τῶν ἀλόγων ζώων αἰσθήσεις τε καὶ πολυμερείας, εἰς τὰς αὔλους τῶν οὐρανίων

ουσι τῶν νοήσεις, καὶ ἑνοειδεῖς δυνάμεις, ἀναλάμπουσι :—

Τί οἱ ποταμοί :—

Ἐπισκεπτέον δὲ καὶ τοὺς ποταμοὺς εἰρῆσθαι καὶ τροχοὺς καὶ ἅρματα, συνημμένα ταῖς οὐρανίαις οὐσίαις. οἱ μὲν γὰρ ἐμπύρειοι ποταμοὶ σημαίνουσι τοὺς θεαρχικοὺς ὀχετούς, ἄφθονον αὐταῖς καὶ ἀνέκλειπτον ἐπιῤῥοίαν χορηγοῦντας, τὸ ζωοποιοῦ θρεπτικῆς γονιμότητας :—

Τί τὰ ἅρματα :—

Τὴν συζυγικὴν τῶν ὁμοταγῶν κοινωνίαν :—

Τί οἱ τροχοί :—

Οἱ δὲ τροχοὶ πτερωτοὶ μὲν ὄντες, ἐπὶ δὲ τὰ πρόσθεν ἀνεπιστρόφως καὶ ἀκλινῶς πορευόμενοι, τὴν κατ᾽ εὐθεῖαν καὶ ὀρθίαν ὁδὸν τῆς πορευτικῆς αὐτῶν ἐνεργείας δύναμιν ἐπὶ τὸ αὐτὸ ἀκλινῆ καὶ εὐθύτομον οἶμον, ἁπάσης αὐτῶν τῆς νοερᾶς τροχιᾶς ὑπερκοσμίως ἰθυνομένης. ἔστι δὲ καὶ κατ᾽ ἄλλην ἀναγωγὴν ἀνακαθᾶραι τὴν τῶν νοερῶν τροχῶν εἰκόνα. ἐπίκλησις γὰρ αὐτοῖς ὥς φησιν ὁ θεολόγος, γελ, γελ, ἐμφαίνει δὲ τοῦτο κατὰ τὴν ἑβραϊκὴν φωνήν, ἀνακυκλισμοὺς καὶ ἀνακαλύψεις. οἱ γὰρ ἐμπύρειοι καὶ θεοειδεῖς τροχοί, τοὺς μὲν ἀνακυκλισμοὺς ἔχουσι, τῇ περὶ τὸ ταὐτὸν ἀγαθὸν ἀεικινήτῳ κινήσει· τὰς ἀνακαλύψεις δὲ τῇ τῶν κρυφίων ἐκφαντορίᾳ, καὶ τῇ τῶν περιπεζίων ἀναγωγῇ, καὶ τῇ τῶν ὑψηλῶν ἐλλάμψεων, εἰς τὰ ὑφειμένα καταγωγικῇ διαπορθμεύσει :—

Τίς ἡ λεγομένη χαρὰ τῶν ἀγγέλων :—

Λοιπὸς ἡμῖν εἰς διασάφησιν ὁ περὶ τῆς χαρᾶς τῶν οὐρανίων δι-

ακοσμήσεων λόγος. Καὶ γὰρ ἄδεκτοι παντελῶς εἰσὶ τῆς καθ' ἡμᾶς ἐμπαθοῦς ἡδονῆς· συγχαίρειν δὲ θεῷ λέγονται τῇ τῶν ἀπολωλότων εὑρέσει, κατὰ τὴν θεοειδῆ ῥᾳστώνην, καὶ τὴν ἐπὶ τῇ προνοίᾳ καὶ σωτηρίᾳ τῶν ἐπὶ θεὸν ἐπιστρεφομένων ἀγαθοειδῆ καὶ ἄφθονον εὐφροσύνην, καὶ τὴν εὐπάθειαν ἐκείνην τὴν ἄρρητον, ἧς ἐν μεθέξει πολλάκις γεγόνασι καὶ ἄνδρες ἱεροί, κατὰ τὰς θεουργοὺς τῶν θείων ἐλλάμψεων ἐπιφοιτήσεις. Τοσαῦτά μοι περὶ τῶν ἱερῶν ἀναπλάσεων εἰρήσθω· τῆς μὲν ἀκριβοῦς αὐτῶν ἐκφαντορίας ἀπολειπόμενοι, συντελοῦντα δ' ὡς οἶμαι, πρὸς τὸ μὴ ταπεινῶς ἡμᾶς ἐναπομεῖναι ταῖς τυπωτικαῖς φαντασίαις :–

Τοῦ αὐτοῦ ἀπόδειξις ὅτι ἐννέα τάγματά εἰσιν οἱ ἄγγελοι :–

Πᾶσα ἡ θεολογία, ἤγουν ἡ θεία γραφή, τὰς οὐρανίους οὐσίας ἐννέα κέκληκε τάξεις. Ταύτας δ' εἰς τρεῖς ἀφορίζει τριαδικὰς διακοσμήσεις. Καὶ πρώτην μὲν εἶναί φασι, τὴν περὶ θεὸν οὖσαν ἀεὶ καὶ προσεχῶς καὶ ἀμέσως ἑνοῦσθαι παραδεδομένην τήν τε τῶν ἑξαπτερύγων σεραφίμ, καὶ τὴν πολυομμάτων χερουβίμ, καὶ τῶν ἁγιωτάτων θρόνων. Δευτέραν δὲ τὴν τῶν κυριοτήτων καὶ τῶν δυνάμεων καὶ ἐξουσιῶν. Τρίτην δὲ καὶ τελευταίαν, τὴν τῶν ἀρχῶν καὶ ἀρχαγγέλων καὶ ἀγγέλων :–

Τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ :–

Αὐτὸς τῶν ἀγγέλων ἐστὶ δημιουργὸς καὶ ποιητής, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν αὐτούς, κατ' οἰκείαν εἰκόνα κτίσας αὐτούς, φύσιν ἀσώματον, οἷόν τι πνεῦμα ἢ πῦρ ἄϋλον ὡς φη

ὁ θεῖος Δαβίδ· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λει-
τουργοὺς αὐτοῦ πυρὸς φλόγα· τὸ κοῦφον καὶ διάπυρον καὶ
θερμὸν, καὶ τὸ τμητικὸν καὶ ὀξὺ, καὶ διάπυρον πρὸς τὴν θείαν φύ-
σιν τε καὶ λειτουργίαν διαγράφων, καὶ τὸ ἄνω φέρεσθαι αὐτῶν καὶ
πάσης ἐννοίας ἀπηλλαγμένον· ἄγγελος τοίνυν ἐστὶν οὐσία νο-
ερὰ ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, θεῷ λειτουργοῦσα,
κατὰ χάριν ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα· ἧς οὐσίας τὸ
εἶδος καὶ τὸν ὅρον μόνος ὁ κτίσας ἐπίσταται· ἀσώματος δὲ καὶ
ἄϋλος λέγεται ὅσον πρὸς ἡμᾶς· πᾶν γὰρ συγκρινόμενον πρὸς
θεὸν τὸν μόνον ἀσύγκριτον, παχύ τε καὶ ὑλικὸν εὑρίσκεται· μόνον
γὰρ ὄντως ἄϋλον τὸ θεῖόν ἐστι καὶ ἀσώματον· ἔστι τοίνυν φύσις
λογικὴ νοερά τε καὶ αὐτεξούσιος, τρεπτὴ κατὰ γνώμην ἤτοι
ἐθελότρεπτος· πᾶν γὰρ κτιστὸν καὶ τρεπτόν· μόνον γὰρ τὸ ἄκτιστον
ἄτρεπτον, καὶ πᾶν λογικὸν αὐτεξούσιον· ὡς μὲν οὖν λογικὴ καὶ
νοερὰ, αὐτεξούσιός ἐστιν· ὡς δὲ κτιστὴ τρεπτὴ, ἔχουσα ἐξου-
σίαν καὶ μένειν καὶ προκόπτειν ἐν τῷ ἀγαθῷ, καὶ ἐπὶ τὸ χεῖρον
τρέπεσθαι· ἀνεπίδεκτος μετανοίας, ὅτι καὶ ἀσώματος· ὁ γὰρ
ἄνθρωπος διὰ τὴν τοῦ σώματος ἀσθένειαν τῆς μετανοίας ἔτυχεν· ἀ-
θάνατος οὐ φύσει, ἀλλὰ χάριτι· πᾶν γὰρ τὸ ἀρξάμενον, καὶ τε-
λευτᾷ κατὰ φύσιν· μόνος δὲ ὁ θεὸς ἀεὶ ὤν, μᾶλλον δὲ καὶ ὑπὲρ
τὸ ἀεί· οὐχ ὑπὸ χρόνον γὰρ ὁ τῶν χρόνων ποιητής· φῶτα δευ-
τερα νοερὰ, ἐκ τοῦ πρώτου καὶ ἀνάρχου φωτὸς τὸν φωτισμὸν
ἔχοντα· οὐ γλώσσης καὶ ἀκοῆς δεόμενα, ἀλλὰ ἄνευ λόγου
προφορικοῦ μεταδιδόντα ἀλλήλοις τὰ ἴδια νοήματα καὶ
βουλήματα· διὰ τοῦ λόγου τοίνυν ἐκτίσθησαν πάντες οἱ ἄγγε-

λοι, τὸ ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ τοῦ ἁγιασμοῦ ἐτελειώθησαν,
κατὰ ἀναλογίαν τῆς ἀξίας καὶ τῆς τάξεως τοῦ φωτισμοῦ καὶ
τῆς χάριτος μετέχοντες· περίγραπτοι· ὅτε γὰρ εἰσιν ἐν τῷ οὐρανῷ, οὐκ
εἰσὶν ἐν τῇ γῇ· καὶ εἰς τὴν γῆν ὑπὸ τοῦ θεοῦ ἀποστελλόμενοι, οὐκ
ἐναπομένουσιν ἐν τῷ οὐρανῷ· οὐ περιοριζόμενοι ὑπὸ τειχῶν καὶ
θυρῶν καὶ κλείθρων καὶ σφραγίδων· ἀόριστοι· ἀορίστους δὲ
λέγω, οὐ γὰρ καθὸ εἰσιν ἐπιφαίνονται τοῖς ἀξίοις οἷς ὁ θεὸς
φαίνεσθαι αὐτοὺς θελήσει, ἀλλ' ἐν μετασχηματισμοῖς καθὼς
δύνανται οἱ ὁρῶντες ὁρᾶν· ἀόριστον γάρ ἐστι κυρίως καὶ φύ-
σει μόνον τὸ ἄκτιστον· πᾶν γὰρ κτίσμα ὑπὸ τοῦ κτίσαντος αὐτὸ
θεοῦ ὁρίζεται· ἔξωθεν τῆς οὐσίας τὸν ἁγιασμὸν ἐκ τοῦ ἁγίου
πνεύματος ἔχοντες, διὰ τῆς θείας χάριτος προφητεύοντες· μὴ γά-
μου χρῄζοντες, ἐπειδήπερ μή εἰσι θνητοί· νόες δὲ ὄντες, ἐν νο-
ητοῖς καὶ τόποις εἰσί· οὐ σωματικῶς, οὐδὲ τριχῆ εἰσι δια-
στατοί, ἀλλὰ τῷ νοητῶς παρεῖναι καὶ ἐνεργεῖν ἔνθα ἂν προ-
ταχθῶσι· καὶ μὴ δύνασθαι κατὰ ταυτὸν ὧδε κἀκεῖσε εἶναι
καὶ ἐνεργεῖν, εἴτε ἴσοι κατ' οὐσίαν εἴτε ἀλλήλων διαφέρον-
τες οὐκ ἴσμεν, μόνος δ' αὐτοὺς ὁ ποιητὴς θεὸς ἐπίσταται ὁ καὶ
τὰ πάντα εἰδώς· διαφέροντες ἀλλήλων τῷ φωτισμῷ καὶ
τῇ στάσει, εἴτε πρὸς τὸν φωτισμὸν τὴν στάσιν ἔχοντες, ἢ πρὸς
τὴν στάσιν τοῦ φωτισμοῦ μετέχοντες καὶ ἀλλήλους φωτίζον-
τες διὰ τὸ ὑπερέχειν τῆς τάξεως ἢ τῆς φύσεως· δῆλον δ' ὅτι οἱ
ὑπερέχοντες τοῖς ὑποβεβηκόσι μεταδιδόασι τοῦ τε φωτι-
σμοῦ καὶ τῆς γνώσεως, ἰσχυροὶ καὶ ἕτοιμοι πρὸς τὴν τοῦ θείου
θελήματος ἐκπλήρωσιν. πανταχοῦ εὐθέως εὑρισκόμενοι

ἔνθα ἂν ἡ θεία κελεύσει ἐπίνευσις τάξει φύσεως, τὰ φυ-
λάττοντες μέρη τῆς γῆς, καὶ ἐθνῶν καὶ τόπων προϊστάμενοι
καθὼς ὑπὸ τοῦ δημιουργοῦ ἐτάχθησαν, καὶ τὰ καθ᾽ ἡμᾶς
οἰκονομοῦντες καὶ βοηθοῦντες ἡμῖν. καὶ μετ᾽ ὀλίγα. τινὲς
μὲν οὖν φασίν, ὅτι πρὸ πάσης κτίσεως ἐγένοντο ὡς ὁ θεολό-
γος λέγει Γρηγόριος, πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις
καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον ἦν. ἕτεροι δὲ ὅτι μετὰ τὸ γενέ-
σθαι τὸν πρῶτον οὐρανόν. ὅτι δὲ πρὸ τῆς ἀνθρώπου πλάσεως πάντες
ὁμολογοῦσιν, ἐγὼ δὲ τῷ θεολόγῳ Γρηγορίῳ συντίθεμαι. ἔπρε-
πε γὰρ πρῶτον τὴν νοερὰν οὐσίαν κτισθῆναι καὶ οὕτω τὴν αἰ-
σθητήν, καὶ τότε ἐξ ἀμφοτέρων τὸν ἄνθρωπον. ὅσοι δὲ φασὶ τοὺς ἀγ-
γέλους δημιουργοὺς ποίας δήποτε οὐσίας, οὗτοι στόμα εἰσὶ
τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου. κτίσματα γὰρ ὄντες, οὐκ εἰσὶ δη-
μιουργοί. πάντων δὲ ποιητὴς καὶ προνοητὴς καὶ συνοχεὺς
ὁ θεός ἐστιν ὁ μόνος ἄκτιστος, ὁ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι
ὑμνούμενός τε καὶ δοξαζόμενος :–

Τοῦ μεγάλου Βασιλείου :–

Φυλάσσουσι δὲ τὴν ἀξίαν τῇ ἐπιμονῇ τοῦ καλοῦ, ἔχουσι μὲν
καὶ ἐν προαιρέσει τὸ αὐτεξούσιον, οὐδέποτε δὲ ἐκ τοῦ
ἀγαθοῦ προσεδρίας ἐκπίπτουσι :–

Τοῦ Χρυσοστόμου, περὶ τῶν ἀγγέλων ὧν ἐφιλοξένησεν Ἀβραάμ.

Οὐκ ἐκάθευδεν ὡς ἔθος κοινὸν ἐν μεσημβρίᾳ Ἀβραάμ,
ἀλλ᾽ ἐγρηγόρει περισκοπῶν παρέαν ξένων. οὐκ ἐκαθέζετο ἐπὶ
σκηνῆς, ἀλλ᾽ εἱστήκει περιβλεπόμενος μήποτε ξένος παρελ-
θὼν ζημιώσῃ τὸν μὴ ὑποδεξάμενον. Εἶδεν ὁ θεὸς τὴν προθυ-

μίαν αὐτοῦ καὶ πέμπει τρεῖς. μυστικὸς ὁ ἀριθμός. ἱκανὸς ἀναπαύσαι ψυχὴν τοῦ ποθοῦντος. τριπλᾶ γὰρ ἀβραὰμ τὰ ἀγαθά. ὧν τὸ ἀναλίσκειν εἰς τοὺς ξένους κέρδος ἦν, τὸ δὲ μὴ ἀναλίσκειν ζημία. βλέπει οὖν τρεῖς. ὅτι γὰρ οἱ μὲν δύο ἄγγελοι ἦσαν τοῦτο δῆλον, ὡς γὰρ ὁ τρίτος ὑπὲρ ἐμὲ τὸ ἑρμηνεῦσαι. ὅμως γὰρ φαίνονται οἱ τρεῖς. οὐ γὰρ οἱ ἄγγελοι ὡς ἄγγελοι, οὐ γὰρ ὁ τρίτος ὡς ὢν ἦν, ἀλλ' ὡς ἄγγελος. εἰ γὰρ ᾔδει τοὺς ἀγγέλους ἢ τὴν ἀξίαν τοῦ παρόντος, ἔλαττον ἦν τὸ θαῦμα. οὐ γὰρ τὴν ἀξίαν ἐφαίνετο τιμῶν, ἀλλὰ ξένους δεξιούμενος. ἀναβλέψας οὖν φησὶν ἀβραὰμ τοὺς ὀφθαλμοὺς αὐτοῦ εἶδε καὶ ἰδοὺ τρεῖς ἄνδρες. οὐχ ὅτι ἄνδρες ἦσαν, ἀλλ' ὅτι ἄνδρες ἐνομίσθησαν. οὐ γὰρ μετάπτωσις τῆς φύσεως γέγονεν, ἀλλὰ τὴν ὑπόνοιαν τοῦ θεασαμένου φησὶν ἡ γραφή. καὶ μετ' ὀλίγα. καὶ αὐτοὺς μὲν εἴασε τοὺς δύο ἀγγέλους, τὸν δὲ ἕτερον. ἐν καιρῷ δὲ ἰδίῳ ἐροῦμεν τὰ περὶ τοῦ ἑτέρου, ἑρμηνεύοντες καὶ τότε δεδιώλεν :~

Ἐπιφανίου κύπρου, περὶ τοῦ παραδείσου, ὅτι αἰσθητός ἐστιν :~

Εἰ οὐκ ἔστιν ἐπίγειος ὁ παράδεισος, καὶ οὐκ ἀληθῆ τὰ ἐν γενέσει γεγραμμένα, ἀλλὰ ἀλληγορεῖται, οὐδὲν ἀληθοῦς τῆς ἀκολουθίας πάντα ἀλληγορούμενα. ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα, καὶ οὐκ ἔστιν ἀλληγορούμενα, ἀλλὰ βλεπόμενα. καὶ τὸν ἄνθρωπον ἐν ἀληθείᾳ ἐποίησεν ὁ θεός, καὶ ἔθηκεν ἐν παραδείσῳ αὐτόν, καὶ ἔφαγεν ἀπὸ τοῦ ξύλου. ὁ γὰρ παράδεισος φησίν, ἐν ἐδέμ, κατὰ ἀνατολάς.

πηγὴ δ᾽ ἀνέβαινεν ἐξ ἐδέμ, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ οὐκ εἶπε κατέβαινεν, ἵνα μὴ νομίσωμεν ἐν ὑψώματι εἶναι τὴν ἐδέμ. εἰ γὰρ ἐν ὑψώματι ἦν, ἄνωθεν εἶχεν εἰπεῖν, ὅτι κατήρχετο, ἀλλά φησιν, ὅτι ποταμὸς πορεύεται ἐξ ἐδέμ, τοῦ ἀφορίζεσθαι εἰς τέσσαρας ἀρχάς, ὄνομα τῷ ἑνὶ φισών, ὁ παρὰ μὲν τοῖς ἰνδοῖς καὶ αἰθίοψι γάγγης καλούμενος, παρ᾽ ἕλλησι δ᾽ ἰνδὸς προσαγορευόμενος, ὁ περικυκλῶν πᾶσαν τὴν γῆν εὐϊλάτ, τήν τε μικρὰν αἰθιοπίαν καὶ τὴν μεγάλην, τὰ μέρη τῶν εὐϊλαίων. εὐϊλαίους γάρ φασιν εἶναι τοὺς ἐσωτέρους ἰνδούς. διαπερᾷ δὲ τὴν μεγάλην αἰθιοπίαν καὶ πίπτει πρὸς νότον καὶ δύσιν, ἔσωθεν περιὼν δι᾽ ὅρων εἰς τὸν μέγαν ὠκεανὸν τὸν κυκλοῦντα πᾶσαν τὴν γῆν. δεύτερος δὲ γεὼν ὁ καὶ νεῖλος κατὰ τὴν αἰθιοπίαν κατερχόμενος καὶ διαπερῶν τὴν μικρὰν αἰθιοπίαν, ἀνουβίτην τε σεμερμέναν καὶ ἀξωμίτην, καὶ περικλύζων τὰ μέρη θηβαΐδος καὶ αἰγύπτου, εἰς ταύτην ἐμπίπτει τὴν θάλασσαν. εἰ δέ τις ἀπιστεῖ, ἀκουέτω αὐτοῦ ἱερεμίου. ἵνα τί ὑμῖν καὶ τῇ ὁδῷ αἰγύπτου, τοῦ πιεῖν ὕδωρ γεὼν τὸ τεθολωμένον. τρίτος δὲ τίγρις ὁ πορευόμενος κατέναντι ἀσσυρίων, ὁ διατέμνων τὰ μέρη τῆς ἀνατολῆς τὸ δύνων ὑπὸ τὴν γῆν, ἀνίσχει ὑπὸ τῆς ἀρμενίας κατὰ μέσον καρδυέων καὶ ἀρμενίων, καὶ ἀναπηγάζει πάλιν καὶ ἀνατέμνει εἰς τὴν γῆν τῶν ἀσσυρίων. τέταρτος δὲ εὐφράτης. ὁμοίως καὶ οὗτος δύνων ὑπὸ τὴν γῆν, ἀνέρχεται ἀπὸ τῆς ἀρμενίας ἐπικλύζων τὴν περσίδα. εἰ τοίνυν οὐκ ἔστι παράδεισος αἰσθητὸς ἐπὶ τῆς γῆς, πάντως οὐδὲ πηγὴ οὐδὲ ποταμοί, οὐδέ

τέσσαρες ἀρχαί, οὐδὲ συκῆ, οὐδὲ ξύλον. εἰ οὐκ ἐστὶ ξύλον, οὐκ ἐστὶ εὕα ἡ ἐξ αὐτοῦ φαγοῦσα. εἰ οὐκ ἐστὶ εὕα, οὐδὲ ἀδάμ. εἰ οὐκ ἐστὶ ἀδάμ, οὐδ᾽ εἰσὶν αὐτοί, ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια, καὶ ἀλληγορεῖται πάντα κατὰ τὸν θεήλατον ὠριγένην:

Διονυσίου ἀλεξανδρέως, ἐκ τοῦ κατὰ ὠριγένην:

Εἰ δὲ τὸν παράδεισον μὴ τοῦ κόσμου μέρος εἶναι λέγοις, μηδὲ ἐν αὐτῷ γεγονέναι, μηδὲ ζῶα τοῖς ἄλλοις καὶ περὶ αὐτοῦ κατέπαυσεν ὁ θεὸς γεγράφθαι, ἀλλ᾽ ὑπὲρ κόσμον χωρίον, πῶς τὸν γηΐνον καὶ πλασθέντα αὐτὸν ἐκεῖσε ἤγαγε· πῶς δ᾽ ἐκεῖ ἔπλασέ τε ἐκ τῆς γῆς ὁ θεὸς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅπου τὸν ἀδὰμ καὶ τὴν γυναῖκα, καὶ ἤγαγε πρὸς αὐτὸν ἰδεῖν τί καλέσει αὐτά· ποῦ ξύλον θανατηφόρον καὶ ἀπατεὼν ὄφις ἐκεῖ. οὐκοῦν νομιζέσθω πᾶς, ὅτι οὐκ εἰς τὸν οὐρανόν, ἀλλ᾽ ὄντως ἐν τῇ γῇ πεφύτευται, ἔστι γὰρ τόπος ἀνατολῆς, καὶ χωρίον ἐκλογῆς:

γρηγορίου τοῦ θεολόγου, περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας καὶ πλάσεως:

Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις ἀπ᾽ ἀλλήλων διακεκριμένα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ μεγαλεῖον ἐν αὐτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας καὶ διαπρύσιοι κήρυκες, οὔπω γὰρ ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, τῆς σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδ᾽ ὁ πλοῦτος τῆς ἀγαθότητος γνώριμος. τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδεῖξα

ἀναλόγως, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρα-
τῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν
τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθείς, ὃ
δὴ νοερὰν ψυχὴν καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος, οἷόν τινα κό-
σμον δεύτερον ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν. ἄγγελον
ἄλλον προσκυνητὴν μικτόν. ἐπόπτην τῆς ὁρατῆς κτίσεως. μύ-
στην τῆς νοουμένης. βασιλέα τῶν ἐπὶ γῆς. βασιλευόμενον
ἄνωθεν. ἐπίγειον καὶ οὐράνιον. πρόσκαιρον καὶ ἀθάνατον. ὁρατὸν
καὶ νοούμενον. μέσον μεγέθους καὶ ταπεινότητος. τὸν αὐτὸν
πνεῦμα καὶ σάρκα. πνεῦμα διὰ τὴν χάριν, σάρκα διὰ τὴν ἔπαρσιν.
τὸ μέν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην. τὸ δέ, ἵνα πάσχῃ,
καὶ πάσχων ὑπομιμνήσκηται, καὶ παιδεύηται τῷ μεγέθει φι-
λοτιμούμενος. ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλα-
χοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου, τῇ πρὸς θεὸν νεύσει
θεούμενον :—

Κλήμεντος :—

Ἄνθρωπος κατ' εἰκόνα θείαν καὶ καθ' ὁμοίωσιν γεγονώς, ἄρχειν
καὶ κυριεύειν κατεστάθη. ὅτε μὲν τὸ δίκαιος ἐτύγχανε, πάν-
των τῶν παθημάτων ἀνώτερος ἦν, καὶ ἀθάνατος ἔμενε κατὰ
θείαν μεγαλοδωρεὰν τοῦ κτίσαντος, τοῦ ἀλγεῖν πεῖραν λα-
βεῖν μὴ δυνάμενος. ὅτε δὲ ἥμαρτεν ὡς δοῦλος γενόμενος ἁ-
μαρτίας, πᾶσιν ὑπέπεσε τοῖς παθήμασι, πάντων τῶν κα-
λῶν δικαίως ἐκείνων στερηθείς. οὐ γὰρ εὔλογον ἦν τοῦ δεδωκό-
τος ἐγκαταλειφθέντος, τὰ δοθέντα παραμένειν τοῖς
ἀγνώμοσι :—

ζ.

Τοῦ χρυσοστόμου: ζ

Εἰπὼν ὁ θεὸς φησί· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. οὐδαμοῦ τὸ ποιήσωμεν εἴρηται, ἀλλὰ γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, καὶ καθ' ἕκαστον μέρος τῆς κτίσεως οὕτως. ἐνταῦθα δὲ τὸ ποιήσωμεν μόνον, καὶ βουλὴ καὶ σκέψις, καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις. τίς ποτε ἄρα ἐστὶν ὁ δημιουργεῖσθαι μέλλων, ὅτε τοσαύτης ἀπολαύει τῆς τιμῆς. ἄνθρωπός ἐστι τὸ μέγα ζῶον καὶ θαυμαστόν, τῆς κτίσεως ἁπάσης παρὰ θεῷ τιμιώτερον, δι' ὃν οὐρανὸς καὶ γῆ καὶ θάλασσα καὶ τὰ λοιπὰ ἅπαντα τῆς κτίσεως σώματα. ἄνθρωπος, οὗ τῆς σωτηρίας ἠράσθη θεός, ὡς μηδὲ τοῦ μονογενοῦς φείσασθαι δι' αὐτόν. οὐ γὰρ ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος ὁ θεός, ἕως αὐτὸν ἄνω ἀναβαλὼν ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ. τοῦτο βοᾷ παῦλος λέγων, καὶ συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ. διὰ τοῦτο βουλὴ καὶ σκέψις, καὶ πρὸς ἕτερόν τινα ὁμότιμον ἀνακοίνωσις. οὐκ ἐπειδὴ ὁ θεὸς βουλῆς δεῖται μὴ γένοιτο, ἀλλὰ τῷ σχήματι τῶν ῥημάτων τὴν γενομένην ἡμῖν ἐνδείκνυται τιμήν. Καὶ πῶς φησὶ εἰ τοῦ κόσμου τιμιώτερός ἐστι, πάντων ὕστερος παράγεται. Δι' αὐτὸ τοῦτο, ἐπειδὴ τοῦ κόσμου τιμιώτερός ἐστι, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα. ἀκουέτω ὁ ἰουδαῖος. πρὸς τίνα φησὶν ὁ θεὸς ποιήσωμεν. μωσέως εἰσὶ τὰ γράμματα, μωσέα πιστεύειν φασίν, οὐ γὰρ δὴ πιστεύουσιν. εἰ γὰρ ἐπιστεύετε φησὶ μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. νυνὶ δὲ, παρ' ἐκείνοις μὲν τὰ βιβλία, παρ' ἡμῖν δὲ ὁ τῶν βιβλίων θησαυρός. παρ' ἐκεί-

ἐξ ὧν.

ἀπό (κει)

3.

νοις τὰ γράμματα, πρὸ ἡμῶν δὲ καὶ τὰ πράγματα καὶ τὰ νοή-
ματα. πρὸς τίνα οὖν φησὶ ποιήσωμεν ἄνθρωπον; πρὸς ἄγγελον, φησὶν
ἢ ἀρχάγγελον. ἁπλῶς τὸ ἐπιὸν φθέγγονται οἱ ἰουδαῖοι. κα-
θάπερ γὰρ οἱ μαστιγίαι τῶν οἰκετῶν, παρὰ τῶν δεσποτῶν ἐγκα-
λούμενοι καὶ ἐξουσίας οὐκ ἔχοντες ἀποκρίνασθαι τὸ ἐπελ-
θὸν ἅπαν προφέρουσιν, οὕτω δὴ καὶ ὑμεῖς, πρὸς ἄγγελον ἢ
ἀρχάγγελον εἴπατε. ποῖον ἄγγελον. οὐ γὰρ ἀγγέλων ἐστὶ τὸ δη-
μιουργεῖν, οὐδὲ τῶν ἀρχαγγέλων τὸ ἐργάζεσθαι ταῦτα. τίνος
δὲ ἕνεκεν ὅλως μετὰ τὸ οὕτως ἐποίησεν, οὐκ εἶπεν ἀγγέλῳ ἢ
ἀρχαγγέλῳ, ἀλλὰ διὰ τοῦ παρήγαγεν; ὅτι δὲ τὸ τιμιώτερον-
ὅσου καὶ πάντας τοῦ κόσμου παρήγαγε ζῶον τὸν ἄνθρωπον, τὸ τοὺς
δούλους κοινωνοὺς λαμβάνει τῆς δημιουργίας; οὐκ ἔστι τοῦτο,
οὐκ ἔστιν. ἀγγέλων γὰρ τὸ παρεστάναι, οὐ τὸ δημιουργεῖν. ἀρ-
χαγγέλων τὸ λειτουργεῖν, οὐ τὸ γνώμης κοινωνεῖν τῆς βουλῆς.
ἀλλὰ τίς ἐστι πρὸς ὅν φησι ποιήσωμεν ἄνθρωπον; ὁ θαυμαστὸς σύμ-
βουλος καὶ ἐξουσιαστὴς καὶ θεὸς ἰσχυρός. ὁ ἄρχων τῆς εἰρήνης.
ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος. αὐτὸς ὁ τοῦ θεοῦ μονογενὴς παῖς.
πρὸς ἐκεῖνον φησὶ καὶ τὸ πνεῦμα, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα
ἡμετέραν. οὐ γὰρ εἶπε τὴν ἐμὴν καὶ τὴν σήν, ἀλλὰ κατ' εἰκό-
να ἡμετέραν. μίαν δηλῶν τὴν συμφωνίαν, καὶ μίαν τὴν ὁ-
μοίωσιν. θεοῦ δὲ καὶ ἀγγέλου οὐκ ἔστιν εἰκὼν μία, οὐδὲ ὁμοί-
ωσις μία: ~

Ζήτησις τοῦ θεολόγου, διατί τελευταῖος ὁ ἄνθρωπος :~

Εἰ δὲ τελευταῖος ὁ ἄνθρωπος τῆς δημιουργίας ἀνεδείχθη, ὁ ταῦτα
χειρὶ θεοῦ καὶ εἰκόνι τετιμημένος, θαυμαστὸν οὐδέν. ἔδει γὰρ

ξ

ὡς τὸν βασιλέα προϋφεστάναι τὰ βασίλεια, καὶ οὕτως εἶτα ἐλθεῖν αὐτὸν βασιλέα πᾶσιν ἤδη δορυφορούμενον. εἰ μὲν οὖν οὕτω ἐμείναμεν ὥσπερ ἦμεν, καὶ τὴν ἐντολὴν ἐφυλάξαμεν, ἐγενόμεθα ἂν ὅπερ οὐκ ἦμεν. τῷ ξύλῳ τῆς ζωῆς προσελθόντες μετὰ τὸ ξύλον τῆς γνώσεως, τότε γενόμενοι ἀπαθανατισθέντες καὶ θεῷ πλησιάσαντες:

Τοῦ Χρυσοστόμου:

Ὡς τοῦ βασιλέως εἰς πόλιν εἰσέρχεσθαι μέλλοντος, στρατηγοὶ καὶ ὕπαρχοι καὶ δορυφόροι καὶ δοῦλοι πάντες προτρέχουσιν, ἵνα τὰ βασίλεια παρασκευάσαντες, καὶ πᾶσαν τὴν ἄλλην εὐπρεπίσαντες θεραπείαν, μετὰ πολλῆς τῆς τιμῆς ὑποδέξωνται τὸν βασιλέα, οὕτω δὴ καὶ ἐνταῦθα καθάπερ βασιλέως εἰσάγεσθαι μέλλοντος, προέφθασεν ἥλιος, προέδραμεν οὐρανός, προσῆλθε τὸ φῶς, ἅπαντα ἐγένετο καὶ προευτρεπίσθη, καὶ τότε ὁ ἄνθρωπος εἰσάγεται μετὰ πολλῆς τῆς τιμῆς ὕστερον:

Τοῦ ἁγίου Χρυσοστόμου διατί διπλοῦς ὁ ἄνθρωπος:

Ὅτε τὸ πανεναρμόνιον τοῦτον κόσμον εἰργάζετο ὁ θεός, τὰ μὲν ἄλλα πάντα ἀπὸ μοναδικῆς ἐποίησεν οὐσίας, κἂν ἀσαφὴς ᾖ ὁ λόγος, ποιήσωμεν αὐτὸν σαφέστερον. τὰ μὲν ἄλλα ἀπὸ μοναδικῆς ἐποίησεν οὐσίας, τὰ ἄνω καὶ τὰ κάτω. καὶ γὰρ κόσμος καὶ ἐκεῖνος, καὶ κόσμος οὗτος, δύο οὗτοι κόσμοι. ἀλλ᾽ ἕκαστος τῶν γενομένων ἀπὸ μοναδικῆς ἦν οὐσίας. οἷον τι λέγω, τὰ ἄνω πάντα ἀσώματα, τὰ κάτω πάντα σώματα. τὰ ἄνω νοερά, τὰ κάτω αἰσθητά. τὰ ἄνω ἀόρατα, τὰ κάτω ὁρατά. πάντα σώματα τὰ κάτω, καὶ οὐρανὸς καὶ ἥλιος καὶ σελήνη, καὶ γῆ

καὶ γαλαναι καὶ δενδρα καὶ φυτα, βοες καὶ προβατα καὶ
ἱπποι, παντα ὁρωμενα· παντα ἀφανη· παντα σωματα·
παντα ἀφ' ἑπτα βαλλομενα, ἐ ὁ ψυχη ὁρωμενα· τα ἀνω παν
τα αἰσθητα· νοερα· ἀσωματοι· ἀρχαγγελοι· θεοι· κυριοτητες·
ἀρχαι· ἐξουσιαι· δυναμεις· ταξεις· θρονοι· κυριοτητες· οὔτε
σκιᾶ ὁρατα, οὔτε ταῦτα αἰσθητα· οὔτε σκιᾶ σωματα, οὔ
τε ταῦτα ἀσωματα· ἀλλ' εἰκὼ ταῦτα σωματα, παντα ἐκμα
γαδικῆς ἐμφερεῖ οὐσιας, καὶ τα κατω καὶ τα ἀνω· καὶ τα τ'
ἀπο σωματων, τα δ' ἐξ ἀσωματων· τα μεν σωματα, τα δε
ἀσωματα· μονος ὁ ἀνος ἀπο διπλῆς ἐμφερεῖ οὐσιας· ὁ μ'
ἐλληνος, ὁ δ' ἑιρονος, ψυχῆς τε καὶ σωματος· ὁ μεν γρ, ἀσ
εβης καὶ νοερα ψυχη· ὁ δε σωμα, ἀνοητου καὶ ἀσεβους· λυπ
ουν εἰκειν οἱ μεν δυο κοσμοι οὔθ' ἀπο μοναδικῆς ἐμ
φερους οὐσιας, καὶ οὔτε ἀνω σωματα οὔτε κατω ἀσωματα,
ἀνος δ' μονος ἀπο ἀσωματου καὶ σωματος συνεστηκεν· ἀλλ'
ἐστε τον ἀληθη καὶ μαθητε ἐξ ἑρμαγμενου τον θεον· ἐπει
γρ οἱ δυο κοσμοι οὔθ' ἓν τον οὐσιαν δυο κοσμος, ὁ μεν
ἀσωματος, ὁ δ' σωματικος· ὁ μεν ἀσεβης, ὁ δ' ὁσιος· ὁ μεν νο
ερος ὁ ἀνω, ὁ δ' ἀνοητος ὁ κατω· ἱνα μη ἡ διαφορα δυ' ἀρ
χων διαφορους δημιουργους ἀναγκη, ἐ ἱνα μη λεγη ἀλ
λος τα ἀνω ἑποιησε καὶ ἄλλος τα κατω, διπλοῦ ζωου ὁ
δ' κοσμος ἐδηλει, ἀνακρυπτειν καὶ δυ ἀνω καὶ δυ κατω
τον δημιουργον· διπλους κοσμος ὁ ἀνος, ἐ δυ ἀνω τ' ουρ
ανιους ἐχων τον ψυχην, καὶ δυ κατω τ' οὐσια ζωοδοτους
καὶ χθονια, ἱνα δημιουργον τ' τα ἀνω καὶ τα κατω ἑρμα

σάμενον κηρύττων, διὰ τῆς οὐσιώδους πλάσεως:

Χειρείου κινήσεως, ὅτι ὀργανικὴ κατεσκευάσθη τοῦ ἀνθρώπου τὸ σχῆμα πρὸς τὴν τοῦ λόγου χρείαν:

Ἐπεὶ οὖν νοερόν τι χρῆμα καὶ ἀσώματόν ἐστιν ὁ νοῦς, τὸ ἀκοινώνητον εἶχε τὴν χάριν καὶ ἄμικτον, διά τινος ἐπινοίας φανερουμένης αὐτοῦ τῆς κινήσεως, τούτου χάριν τῆς ὀργανικῆς ταύτης προσεδεήθη κατασκευῆς, ἵνα πλήκτρου δίκην τῶν φωνητικῶν μορίων ἁπτόμενος, διὰ τῆς ποιᾶς τῶν φθόγγων τυπώσεως ἑρμηνεύῃ τὴν ἔνδοθεν κίνησιν. καὶ ὥσπερ τις μουσικῆς ἔμπειρος ὢν ἰδίαν ἐκ πάθους μὴ ἔχων φωνήν, βουλόμενος φανεροποιῆσαι τὴν ἐπιστήμην ἀλλοτρίαις ἐμμελῳδήσει φωναῖς δι᾽ αὐλῶν ἢ λύρας δημοσιεύων τὴν τέχνην, οὕτω καὶ ὁ ἀνθρώπινος νοῦς παντοδαπῶν νοημάτων εὑρετὴς ὤν, τῷ μὴ δύνασθαι τοῖς διὰ τῶν σωματικῶν αἰσθήσεων ἐπαΐουσι γυμνῇ τῇ ψυχῇ δεικνύειν τὰς τῆς διανοίας ὁρμάς, καθάπερ τις ἁρμοστὴς ἔντεχνος τῶν ἐμψύχων τούτων ὀργάνων ἁπτόμενος διὰ τῆς ἐν τούτοις ἠχῆς φανεροποιεῖ τὰ κεκρυμμένα νοήματα:

Τοῦ ξυλοβρώμου, ὅτι ἐπιστημονικὸς τοῦ καλοῦ καὶ κακοῦ γνώσεως ὁ ἄνθρωπος:

Ὑπεσχόμεθα ὑμῖν εἰπεῖν περὶ τοῦ ξύλου, πότερον ἐξ ἐκείνου γέγονεν ἡ γνῶσις τοῦ καλοῦ καὶ πονηροῦ τῷ Ἀδάμ, ἢ πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην. θαρροῦντες λέγομεν νῦν, ὅτι πρὸ τῆς βρώσεως εἶχε τὴν διάγνωσιν ταύτην, εἰ μὴ γὰρ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, τὸ αὐτῶν τῶν ἀλόγων ἦν

ἀλογώτερον. πῶς μὲν γὰρ οὐκ ἄτοπον, αἰτίας μὲν τὰ πρόβατα
εἰδέναι ποία μὲν αὐτοῖς βοτάνη χρήσιμος, ποία δὲ ὀλεθρία.
καὶ μὴ πάσαις αὐταῖς ἐφίεσθαι ταῖς φαινομέναις, ἀλλ' ἔχειν
τὴν διάγνωσιν καὶ εἰδέναι σαφῶς, τί μὲν ἐπιβλαβές, τί δὲ
ὠφέλιμον, τὸν δὲ ἄνθρωπον ταύτης ἀποστερῆσθαι τῆς ἀσφαλείας.
εἰ μὴ γὰρ τοῦτο εἶχεν, οὐδενὸς ἄξιος ἦν, ἀλλὰ καὶ εὐτελέστερος
πάντων ὑπῆρχε. πολλῷ γὰρ αἱρετώτερον ἦν αὐτῷ ἐν σκότει
διάγειν καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκόφθαι, καὶ τοῦ φωτὸς ἀπο-
στερεῖσθαι, ἢ μὴ εἰδέναι τί μὲν καλόν, τί δὲ πονηρόν. τὸ γὰρ κα-
λὸν καὶ πονηρὸν ἐκεῖνοι μόνον ἀγνοοῦσιν, ὅσοι τῶν κατὰ φύ-
σιν εἰσὶν ἐστερημένοι φρενῶν. ὁ δὲ ἀδάμ, σοφίας πολλῆς
ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκάστῳ τούτων ἦν. καὶ ὅτι σο-
φίας πολλῆς ἐπεπλήρωτο, ἄκουσον αὐτῆς τῆς ἀπόδειξιν.
ἤγαγε τὰ θηρία πρὸς αὐτὸν ὁ θεὸς ἰδεῖν τί καλέσει αὐτά. καὶ
ὃ ἐὰν ἐκάλεσεν αὐτὰ ἀδάμ, τοῦτο ὄνομα αὐτοῖς :—

Κυρίλλου ἀλεξανδρείας :—

Τὸ μὲν γὰρ ὁλοτρόπως ἀγνοεῖν, τί μέν ἐστι τὸ ἀγαθόν, τί δὲ τὸ
ἔμπαλιν, κτηνοπρεπὲς ἂν εἴη, καὶ λίθῳ μᾶλλον ἢ ξύλῳ
προσπεφυκός, λογικῆς δὲ οἶμαι ψυχῆς ἀλλότριον παντε-
λῶς. εἰ δέ τι τῆς λέξεως τὸ εἰδέναι φημὶ καλόν τε καὶ φαῦλον
κατασημαίνεσθαι ἂν παρά τε ταῖς θεοπνεύστοις γραφαῖς, οὐ
γε διὰ τοῦ πάντως τὸ ὡς ἐν ψιλῇ καὶ μόνῃ δέχεσθαι γνώσει
τῶν πραγμάτων τὴν ἐπιστήμην, ἀλλ' ὡς ἐν δυνάμει τὴν πεῖραν :—

Κυρίλλου ἱεροσολύμων :—

Αὐτεξούσιός ἐστι πᾶς ἄνθρωπος. καὶ ὁ μὲν διάβολος, τὸ ὑποβάλλειν

δύναται. τὸ δ' ἀναγκάζεσθαι παρὰ προαίρεσιν, οὐκ ἔχει τὴν-
ἐξουσίαν. ὑποβάλλει πορνείας λογισμούς, ἐὰν θέλῃς ἐδέ-
ξω. εἰ γὰρ κατὰ ἀνάγκην ἐπόρνευες, τίνος ἕνεκεν τὴν γέ-
ενναν ἡτοίμασεν ὁ θεός. εἰ κατὰ φύσιν καὶ οὐ κατὰ προαίρε-
σιν ἐδικαιοπράγεις, τίνος ἕνεκεν στεφάνους ἀνεκδιηγήτους
ἡτοίμασεν ὁ θεός. πρᾶον ἐστὶ τὸ πρόβατον, ἀλλ' οὐδέποτε τοῦτο
διὰ τὴν πραότητα ἐστεφανώθη, ἐπειδὴ τὸ πρᾶον οὐκ ἐκ προ-
αιρέσεως, ἀλλ' ἐκ φύσεως αὐτῷ πρόσεστι:

Τοῦ αὐτοῦ:

Γνῶθι σαυτὸν τίς εἶ, διπλοῦς ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος
καθέστηκας συγκείμενος. τὸ δ' ἓν καθὰ καὶ πρὸ βραχέος
εἴρηται, αὐτὸς ὁ θεός ἐστι καὶ ψυχῆς καὶ σώματος δημιουργός,
καὶ γίνωσκε ψυχὴν ἔχειν αὐτεξούσιον. ἔργον θεοῦ κάλλιστον.
κατ' εἰκόνα τοῦ πεποιηκότος. ἀθάνατον, διὰ τὸν ἀπαθανα-
τίσαντα. ζῶον λογικὸν καὶ ἄφθαρτον, διὰ τὸν ταῦτα
χαρισάμενον, ἐξουσίαν ἔχων ποιεῖν ὃ βούλεται:

Τοῦ Χρυσοστόμου, περὶ τῆς ἐν παραδείσῳ διαγωγῆς τοῦ ἀδάμ:

Ἐπειδὴ γὰρ ὁ σύμπας κόσμος οὗτος ἀπήρτιστο, καὶ πάντα ηὐ-
τρέπιστο τὰ πρὸς ἀνάπαυσιν καὶ χρῆσιν τὴν ἡμετέραν, πλά-
σας ὁ θεὸς τὸν ἄνθρωπον δι' ὃν καὶ τὸν κόσμον ἐποίησε, πλασθεὶς δ'
ἐκεῖνος ἔμεινεν ἐν παραδείσῳ, καὶ γάμου λόγος οὐδεὶς ἦν.
ἐδέησε καὶ βοηθὸν αὐτῷ γενέσθαι καὶ ἐγένετο. καὶ οὐδ' οὕ-
τως ὁ γάμος ἀναγκαῖον εἶναι ἐδόκει, ἀλλ' οὐδὲ ἐφαίνετό που.
ἀλλ' ἔμενον ἐκεῖνοι χωρίς, καθάπερ ἐν οὐρανῷ τῷ παραδεί-
σῳ διαιτώμενοι καὶ ἐντρυφῶντες τῇ πρὸς θεὸν ὁμιλίᾳ. μὲ

ξεως δὲ ἐπιθυμία καὶ σύλληψις καὶ ὠδῖνες, καὶ τόκοι καὶ πᾶν εἶδος φθορᾶς ἐξώριστο τῆς ἐκείνων ψυχῆς. ὥσπερ δὲ ῥεῖθρον διειδὲς καὶ ἐκ καθαρᾶς ψυχῆς προϊόν, οὕτως ἦσαν ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ παρθενίᾳ κοσμούμενοι. καὶ πᾶσα δὲ ἡ γῆ ἔρημος ἦν ἀνθρώπων. οὐκ ἦσαν δὲ πόλεις. οὐ τέχναι. οὐκ οἰκίαι. τὸ γὰρ τούτων ἡμῖν οὐχ ὡς ἔτυχε μέλλει, ἀλλ' οὐκ ἦν τότε ταῦτα, ἀλλ' ὅμως τὴν μακαρίαν ζωὴν ἔζων καὶ πολλῷ ταύτης ἀμείνω, οὐδὲν οὐδὲ ἐνεπόδιζεν οὔτε ἐνέκοπτεν. ἐπειδὴ δὲ παρήκουσαν τοῦ θεοῦ καὶ ἐγένοντο γῆ καὶ σποδός, ἀπώλεσαν μετὰ τῆς μακαρίας διαγωγῆς καὶ τὸ τῆς παρθενίας καλόν, καὶ μετὰ τοῦ θεοῦ καὶ αὐτὴ καταλιποῦσα αὐτοὺς ἀνεχώρησεν. ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ καὶ τὸν δεσπότην ᾐδοῦντο τὸν αὐτῶν, παρέμενε καὶ ἡ παρθενία κοσμοῦσα αὐτούς, ἢ μᾶλλον τοὺς βασιλεῖς τὸ διάδημα καὶ τὰ ἱμάτια τὰ χρυσᾶ. ἐπειδὴ δὲ αἰχμάλωτοι γενόμενοι τὴν βασιλικὴν ταύτην ἀπεδύσαντο στολήν, τὸν δὲ οὐράνιον ἀπέθεντο κόσμον, ἐδέξαντο δὲ τὴν ἀπὸ τοῦ θανάτου φθορὰν καὶ τὴν ἀρὰν καὶ τὴν ὀδύνην, τὸν ἐπίμοχθον βίον, τότε καὶ ὁ γάμος ἐπεισέρχεται, μετὰ τούτων τὸ θνητὸν τοῦτο καὶ δουλικὸν ἱμάτιον. ὁ γὰρ γαμήσας φησί μεριμνᾷ τὰ τοῦ κόσμου :~

Ἐκ τοῦ αὐτοῦ λόγου τοῦ χρυσοστόμου :~

Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί φησὶν ὁ ἀπόστολος παῦλος. φοβοῦμαι δὲ μήπως ὡς ὄφις ἐξηπάτησεν εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ. ὃ ἐστὶ δὲ οὐχ ὁ ἀνὴρ ἐσκελίσθη, ἀλλ'

γυνὴ ἠπατήθη; καὶ τίς ἡ ἀπατηθεῖσα, καὶ τίς ἡ τῷ ὄφει προσ-
παίξασα, ἡ ἀγχιόστομος καὶ ἰοβόλος γυνή. τίς προσέπαι-
ξε τῷ ὄφει, ἡ δι᾽ ἐμπαιγμάτων μελετῶσα· οὐδεὶς γὰρ ἐν τῷ πα-
ραδείσῳ πλὴν αὐτῆς καὶ τοῦ ἀνδρὸς αὐτῆς, τὸ μήτε τὴν μό-
νωσιν μήτε ἄλλο τι φοβηθεῖσα περιήρχετο πλανωμένη, ῥεμ-
βομένη ποῦ παρὰ καιρὸν εὕροι, πρὸ τῆς συναφείας τοῦ γά-
μου τὴν μοιχοπορνείαν μελετῶσα. εἰ προσῆν τῷ ἀνδρί, οὐκ
ἂν ἐπλησίασεν ὁ ὄφις. ἔξω τοῦ ἀνδρὸς αὐτὴν εὗρε καὶ ἐ-
δελέασεν αὐτήν. γυνὴ γὰρ ἀνδρὶ μόνῳ συνοῦσα, ἀεὶ καὶ
διαπαντὸς φθορὰν οὐχ ὑπομένει, ἢ πλάνου δέξεται. χωρι-
σθεῖσα δὲ τοῦ ἀνδρός, καὶ μετὰ ἀγγέλων ἡ συνδιατρίβου-
σα εὐεπηρέαστος γίνεται :-

Τί ἐχρῆν λέγειν πρὸς τοὺς ἐπαποροῦντας, εἰ μετὰ τὴν ἁμαρ- ἐρῶ.
τίαν ἡ παιδοποιΐα· καὶ πῶς ἂν ἐγένετο τὸ τῶν ἀνθρώπων γένος,
εἰ ἀναμάρτητοι ἔμειναν ἄζευκτοι :- τοῦ Νύσσης :-

Ἀντιλεγόμενοί ποτε οἱ τῶν Σαδδουκαίων τῷ κατὰ τὴν ἀνάστασιν ἀποκρ.
λόγῳ, τὴν πολύγαμον γυναῖκα τὴν τοῖς ἑπτὰ γενομένην
ἀδελφοῖς, εἰς σύστασιν τοῦ καθ᾽ αὑτῶν δόγματος προφέ-
ροντες, εἰ τίνος μετὰ τὴν ἀνάστασιν ἔσται προαποθανομέ-
νων, ἀποκρίνεται πρὸς τὸν λόγον ὁ κύριος, οὐ μόνον τοὺς Σαδ-
δουκαίους παιδεύων, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα
τὸ τῆς ἐν τῇ ἀναστάσει ζωῆς φανερῶν τὸ μυστήριον. ἐν γὰρ τῇ
ἀναστάσει φησὶν οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, οὔτε γὰρ
ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ θεοῦ εἰσί,
τῆς ἀναστάσεως υἱοὶ ὄντες. ἡ δὲ τῆς ἀναστάσεως χάρις οὐδὲ

ἐκεῖνο ἡμῖν ἐπαγγέλλεται, τὴν εἰς τὸ ἀρχαῖον τῶν ἐκπεπτω-
κότων ἀποκατάστασιν. ἐπάνοδος γάρ τίς ἐστιν ἐπὶ τὴν προτέ-
ραν ζωὴν ἡ προσδοκωμένη χάρις, τὸν ἀποβληθέντα τοῦ
παραδείσου πάλιν ἐπ' αὐτὸν ἐπανάγουσα. εἰ τοίνυν ἡ τῶν
ἀποκαθισταμένων ζωὴ πρὸς τὴν τῶν ἀγγέλων οἰκείως ἔχει,
δηλονότι ὁ πρὸ τῆς παραβάσεως βίος ἀγγελικός τις ἦν,
διὸ καὶ ἡ πρὸς τὸ ἀρχαῖον τῆς ζωῆς ἡμῶν ἐπάνοδος τοῖς ἀγ-
γέλοις ὡμοίωται. ἀλλὰ μὴν καθὼς προείρηται γάμου παρ'
αὐτοῖς οὐκ ὄντος, ἐν μυριάσιν ἀπείροις αἱ στρατιαὶ τῶν ἀγ-
γέλων εἰσίν. οὐκοῦν κατὰ τὸν αὐτὸν τρόπον εἴπερ μηδε-
μία παρατροπὴ καὶ ἔκστασις ἀπὸ τῆς ἀγγελικῆς ὁμοτιμίας
ἐξ ἁμαρτίας ἡμῖν ἐγένετο, οὐκ ἂν οὐδὲ ἡμεῖς τοῦ γάμου
πρὸς πληθυσμὸν ἐδεήθημεν, ἀλλ' ὅστις ἐστὶν ἐν τῷ πλήθει
ἐν τῇ φύσει τῶν ἀγγέλων τοῦ πληθυσμοῦ τρόπος, ἄρρητός
τε καὶ ἀπερινόητος στοχασμοῖς ἀνθρωπίνοις. πλὴν ἀλλὰ καὶ πι-
στός ἐστιν οὗτος ὁ λόγος, ὃς καὶ ἐπὶ τὸ βραχύ τι παρ' ἀγγέ-
λους ἠλαττωμένον ἐνήργησε εἰς τὸν ὡρισμένον ὑπὸ τῆς
βουλῆς τοῦ πεποιηκότος, μέτρον τὸ ἀνθρώπινον αὔξων :-

Τοῦ χρυσοστόμου εὑρημένος :-

Μυρίαι μυριάδες ἀγγέλων λειτουργοῦσι τῷ θεῷ, καὶ χίλιαι
χιλιάδες παρειστήκεισαν αὐτῷ, καὶ οὐδεὶς ἐκ διαδοχῆς
τούτων, οὐδὲ ἐκ τόκων καὶ ὠδίνων καὶ συλλήψεως. οὐκοῦν,
πολλῷ μᾶλλον ἀνθρώπους ἂν ἐποίησε γάμου χωρίς. ποῖος γὰρ
ὑπέρ σοι γάμος ἀπέτεκε τὸν ἀδάμ, ποῖαι τὴν εὔαν ὠδῖνες.
ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. καὶ νῦν δέ, οὐχ ὁ τοῦ γάμου δύνα-

μος συγκροτεῖ τὸ γένος τὸ ἡμέτερον, ἀλλ' ὁ τοῦ θεοῦ λόγος ὁ τὴν ἀρχὴν εἰπών, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν. τί γὰρ εἰπέ μοι τὸν ἀβραὰμ εἰς παιδοποιίαν ὁ γάμος ὤνησεν. οὐκ ἐπὶ τοσούτοις αὐτῷ χρησάμενος ἔτεσι, ταύτην ὕστερον ἀφῆκε τὴν φωνήν· δέσποτα, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος; ὥσπερ οὖν τότε ἀπὸ νεκρῶν σωμάτων τοσαύταις μυριάσι δέδωκε τὴν ὑπόθεσιν καὶ εἰξάνοι ὁ θεός, οὕτως καὶ παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν ἀδάμ, τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων αὐξήσει γένος. καὶ πῶς ἄν, φησίν, αἱ τοσαῦται μυριάδες τῶν ἀνθρώπων ἐγένοντο, ἐγὼ δέ σε πάλιν ἐρωτῶ. ἐπειδή σε σφόδρα περὶ ἀμφοτέρων κατασείων ὁ φόβος οὗτος, πῶς ὁ ἀδάμ, πῶς εὔα μὴ μεσιτεύσαντος γάμου. τί οὖν φησίν, οὕτως ἔμελλον ἅπαντες ἄνθρωποι γενέσθαι; εἴτε οὕτως εἴτε ἑτέρως οὐκ ἔχω λέγειν. τὸ γὰρ ζητούμενον νῦν, ὅτι γάμου οὐκ ἔδει τῷ θεῷ πρὸς τὸ πολλοὺς ποιῆσαι τοὺς ἐπὶ τῆς γῆς ἀνθρώπους :–

μαξίμου τοῦ ὁμολογητοῦ, κατὰ πόσους τρόπους ἐξαμαρτάνει ὁ ἄνθρωπος :–

Οἶμαι κατὰ τέσσαρας τρόπους ἐξαμαρτάνειν τὸν ἄνθρωπον. κατὰ συναρπαγήν. κατὰ ἀπάτην. κατὰ ἄγνοιαν. κατὰ διάθεσιν. οἱ μὲν οὖν πρῶτοι τρεῖς, εὐχερῶς εἰς ἐπίγνωσιν καὶ μετάνοιαν ἔρχονται. ὁ δὲ ἐκ διαθέσεως ἁμαρτάνων, καὶ μήτε τῇ πείρᾳ μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρχόμενος, ἀνυπόστατον ἕξει τὴν κόλασιν :–

μαρκιανοῦ :-ζ

Ὡς πρὸς τὰ σωματικὰ πάθη, τὰ μὲν ἐπιπόλαια καὶ εὐθεώρητα καὶ τὴν θεραπείαν εὔκολον ἐπιδεχόμενα, ἰδίως θεραπεύοντες οὐ παρέχει ἀδηλότητα. τὰ δ' ἐνδομυχοῦντα, ἀλγεινότερα καὶ χαλεπώτερα καὶ δυσθεράπευτα. οὕτως καὶ ἐπὶ τῶν ἁμαρτημάτων παθημάτων, τὰ τῆς σαρκὸς ἐπιθυμήματα καὶ τὴν αἰσχύνην πεδόθεν ἔχοντα καὶ δι' ἀκοῆς λαμβάνοντα, εὐλυτα μᾶλλον καὶ εὐσυζώρητα γινώσκεται, καὶ μετανοίας τόπον ἐπιδέχεται. τὰ δ' φθονήματα, βαρύτερα καὶ δυσπάλακτα, ὡς πρὸς πατρικὰ κατακολάζεται, καὶ οὐκ ἐξομολογήσεως μέθοδον ἐπιδέχεται. ἡ γὰρ ἐν θεῷ κατοχή, ὅλη πονηρὸς ἐστιν, ἡ ὅλη φθονερός, ἡ ὅλη δόλιος, ἡ ὅλη φιλόδοξος καὶ ἐπηρμένος, καὶ διὰ θεῦ τὰ μὲν φαινόμενα δι' ἐναντιώσεως κεκάλυπται, οὐ φθονήσεις καὶ τὰ λοιπά· τὰ δ' ἄλλα, διὰ θεῦ πῶς ἐν ᾧ λείπουσιν οὐδὲν καὶ κεχαρισμένοι εἰσὶν, ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. τρεῖς γάρ εἰσιν ἁμαρτήματα· ἐν βίῳ βιωτικοῖς, οἱ πλοῦτοι. ἐν βίῳ σαρκικοῖς, οἱ πόρνοι. ἐν βίῳ φρονηματικοῖς, οἱ φαρισαῖοι καὶ οἱ πονηρευόμενοι, καὶ διὰ θεῦ χαλεπώτερα αἱ φθονηματικαὶ ἁμαρτίαι. αἱ μὲν γὰρ βιωτικαὶ καὶ σαρκικαὶ, ἐξωθεν προσπίπτουσι καὶ δι' ἀκοῆς λαμβάνουσιν, διὸ καὶ μετανοίας ἐπιδέχονται τόπον. αἱ φθονηματικαὶ δ' ἐκ τῆς καρδίας ἐξέρχονται, διὰ θεῦ δυσιάβατοι καὶ ἀνίαβατοι εἰσὶ διὰ φθόνου, ὅτι φαρισαῖοι εἰσὶ διὰ φρονήσεως, ὡς πρὸς ἀπὸ εὐζήλου νόμου πεσόντες :-ζ

-ζ : -ζ

Κυρίλλου ἱεροσολύμων :—

Τὴν πέτραν οὐ μὴ ἀδικήσουσι τὰ κύματα, οὕτω καὶ ἡ προσβολὴ ἄπρακτος μένουσα, οὐ μὴ ἀδικήσει τὸν ἄνον. Γέγραπται γὰρ ὅτι πᾶσα ἁμαρτία μὴ συντετελεσμένη, οὐκ ἔστιν ἁμαρτία :—

ὅτι οὐ κατ' ἀστρολογίαν τὰ κακὰ ἡμᾶς :—

Οὐ γὰρ κατὰ γένεσιν ἁμαρτάνεις, οὐδὲ κατὰ τύχην πορνεύεις, οὐδὲ καθὼς ληροῦσί τινες αἱ τῶν ἄστρων πλοκαί, ταῖς ἀσελγείαις προσέχειν καταναγκάζουσι. τί φεύγων ὁμολογῆσαι τὰ σεαυτοῦ κακά, τοῖς ἀναιτίοις ἄστροις ἐπιγράφεις τὴν αἰτίαν. μηκέτι πρόσεχε λοιπὸν ἀστρολόγοις. περὶ γὰρ τούτων φησὶν ἡ θεία γραφή· στήτωσαν καὶ σωσάτωσαν οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, ἰδοὺ ὡς φρύγανα πυρὶ κατακαήσονται, καὶ οὐ μὴ ἐξελῶνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός :—

Τοῦ Σολομῶντος, περὶ ἀποταξαμένων καὶ πάλιν ἁμαρτανόντων :—

Ὥσπερ κύων ὅταν ἔλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς γένηται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν :—

Τοῦ ἁγίου Βασιλείου :—

Ὁ ἐν πεποιθήσει γενόμενος ἀγαθῶν ἔργων, εἶτα πάλιν δὲ μεταβὰς εἰς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τοῦ ἐπὶ τοῖς πεπονημένοις μισθοῦ ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως :—

Τοῦ ἁγίου Ἰωάννου τοῦ χρυσοστόμου :—

Οἱ γὰρ τῷ ἁγίῳ ἀξίως προσελθεῖν βουληθέντες, ἐὰν μὴ καθαρ

θώσωσιν ἐνταῦθα, μεγάλων καὶ λαμπρῶν στεφάνων ἐπι-
τυγχάνουσιν· οἵτινες ὁ προθέμενοι οὐκ ἐτελείωσαν, ἐξ αἰσί-
ου αὐτοῖς τὸ πλήρωμα γενήσεται :-

Τοῦ Ἰώβ, περὶ ἀστάτου τῶν ἀνθρωπίνων
πραγμάτων καταστάσεως :-

Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσο-
μαι ἐκεῖ· σκιὰ γάρ ἐστιν ὁ βίος ἡμῶν :-

Τοῦ ἐκκλησιαστοῦ :-

Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης· πᾶσα σάρξ, χόρ-
τος· καὶ πᾶσα δόξα αὐτοῦ, ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρ-
τος, καὶ τὸ ἄνθος ἐξέπεσεν· οἵα ἐστὶν ἡ ζωὴ ἡμῶν· ἀτμὶς γάρ
ἐστιν· ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα καὶ ἀφανιζομένη·
ἐγὼ ἐκκλησιαστὴς ἐμεγαλύνθην προσέθηκα· ἐγενόμην βα-
σιλεὺς ἐν Ἱερουσαλήμ· καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆ-
σαι καὶ κατασκέψασθαι ἐν τῇ σοφίᾳ, περὶ πάντων τῶν γινομέ-
νων ὑπὸ τὸν οὐρανόν· ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ Θε-
ὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῦ περισπᾶσθαι ἐν αὐτῷ· καὶ εἶδον πάν-
τα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ τὰ πάντα ματαιό-
της καὶ προαίρεσις πνεύματος :-

Τοῦ θεολόγου :-

Τοιοῦτος ὁ βίος ἡμῶν ἀδελφοί, τῶν ζώντων πρόσκαιρα· τοῦ-
το τὸ ἐπὶ γῆς παίγνιον· οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀνα-
λυθῆναι· ὄναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα μὴ κρατούμε-
νον· πτῆσις ὀρνέου παρερχομένου· ναῦς ἐπὶ θαλάσσης ἴχνος
οὐκ ἔχουσα· κόνις· ἀτμίς· ἑωθινὴ δρόσος· ἄνθος καιρῷ φυό-

μενον, καὶ καρπῷ λυόμενον :-

Βασιλείου Καισαρείας :-

Σκόπει μέμοι τὰ τοῦ βίου παραπλήσια· σήμερον τὴν γῆν σὺ ἐγεώργησας, καὶ αὔριον ἄλλος, καὶ μετ' ἐκεῖνον ἕτερος. τοῦ δεῖνος ἐλέγετο, νῦν δ' ἄλλου λέγεται. μακάριος οὖν ὃς ἐπὶ ὁδοῦ τῶν ἁμαρτωλῶν οὐκ ἔστη :-

Τοῦ θεολόγου :-

Τίς βίος, ποία ζωή, εἰ ἐκ τάφου πηδήσας πάλιν ἐπὶ τάφον ὁδεύω, ἐκ δὲ τοῦ τάφου πάλιν, ἐν πυρὶ θάπτομαι ἀποθανών :-

Τοῦ Χρυσοστόμου :-

Ταράττεται ἄνθρωπος καὶ τέλος ἀπόλλυται. ταράττεται, καὶ ὡς μὴ γενόμενος ἀφανίζεται· ὡς πῦρ ἀνακαίεται, καὶ ὡς καλάμη τεφροῦται· ὡς ἄνθος ὡραΐζεται, καὶ ὡς χόρτος ξηραίνεται. αὐτοῦ αἱ ταραχαί, καὶ ἄλλων αἱ τρυφαί. αὐτοῦ οἱ πόνοι, καὶ ἄλλων οἱ θησαυροί. αὐτοῦ οἱ πόνοι, καὶ ἄλλων αἱ εὐφροσύναι. αὐτοῦ αἱ θλίψεις, καὶ ἄλλων αἱ ἀπολαύσεις. αὐτοῦ αἱ ἁρπαγαί, καὶ ἄλλων αἱ ἡδοναί. αὐτοῦ αἱ περιστάσεις, καὶ ἄλλων αἱ θεραπεῖαι. κατ' αὐτοῦ τὰ δάκρυα, καὶ παρ' ἑτέροις τὰ χρήματα. αὐτὸς ἐν ᾅδῃ κολάζεται, καὶ ἄλλοι πολλάκις ἐν τοῖς αὐτοῦ τρυφῶντες ψάλλουσι, πλὴν μάτην πᾶς ἄνθρωπος. οὐδὲν τῶν ἀνθρωπίνων πραγμάτων σαθρότερον, διὸ ὅπερ ἂν εἴποις τῆς ὀνόματι τῆς εὐτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ. κἂν σκιάν. κἂν χόρτον. κἂν ὄναρ. κἂν ἄνθη ἐαρινά. κἂν ὅτι οὖν ἕτερον ὀνομάσῃς, οὕτω γὰρ ταχέως ἀποπέταται· οὕτως ἐστὶν ἐπίκηρα, καὶ τῶν οὐδὲν ὄντων οὐδαμινέστερα. θεῖξ

λελευκασμένη, τὴν ἐγγύθεν τῆς ψυχῆς ἀποδημίαν βοᾷ καὶ διαμαρτύρεται. ὅθεν κατὰ τὸ γεγραμμένον, ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, [illegible] γὰρ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος, ὃ λευκανθὲν ὑπάρχει πρὸς θεσμόν, καὶ μέλλει ὁ δη-πανιστὴς διὰ θανάτου ἐκτέμνειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, καὶ εἰς ξένους τινὰς καὶ ἀγνοουμένους μετακομίζειν τόπους, ἢ τῷ δήπου διατάξει μέχρι τῆς κοινῆς ἀναστάσεως :—

Μαξίμου, περὶ τῶν τεσσάρων ἀπαθειῶν :—

Πρώτη ἐστὶν ἀπάθεια, ἡ παντελὴς ἀποχὴ τῶν κατ' ἐνέργειαν κακῶν ἐν τοῖς εἰσαγομένοις θεωρουμένη. δευτέρα ἀπάθεια, ἡ παντελὴς κατὰ διάνοιαν περὶ τὴν τῶν κακῶν συγκατάθεσιν ἀποβολὴ λογισμῶν, ἐν τοῖς μετὰ λόγου τὴν ἀρετὴν μετιοῦσι γινομένη. τρίτη δ' ἡ κατ' ἐπιθυμίαν, ἡ περὶ τὰ πάθη παντελὼς ἀκινησία, ἐν τοῖς διὰ τῶν σχημάτων τοὺς λόγους νοητῶς θεωρουμένοις τῶν ὁρωμένων. τετάρτη ἀπάθεια, ἡ καὶ αὐτῆς τῆς ψιλῆς τῶν παθῶν φαντασίας παντελὴς κάθαρσις, ἐν τοῖς διὰ γνώσεως καὶ θεωρίας καθαρὸν καὶ διειδὲς ἔσοπτρον τοῦ θεοῦ ποιησαμένοις τὸ ἡγεμονικὸν γινομένη. ὁ τοίνυν καθάρας ἑαυτὸν ἐνεργείας παθῶν, καὶ τῆς ἐπ' αὐτοῖς κατὰ διάνοιαν συγκαταθέσεως ἠλευθερωκώς, καὶ τῆς περὶ αὐτὰ κατ' ἐπιθυμίαν κινήσεως στάσιν λαβών, καὶ τῆς αὐτῶν ψιλῆς φαντασίας τὸν νοῦν καταστήσας ἀμόλυντον, τὰς τέσσαρας γενικὰς ἀπαθείας ἔχων, ἐξέρχεται τῆς ὕλης καὶ τῶν ὑλικῶν παθῶν, τὸ πρὸς τὴν θείαν καὶ εἰρηνικὴν τῶν νοητῶν ἀπειργάζεται λῆξιν :—

Τοῦ αὐτοῦ, περὶ τῶν γενικῶν ἀρετῶν :~

Τέσσαρές εἰσι γενικαὶ ἀρεταί, αἷς παρέπονται ἑκάστῃ αὐτῶν, δύο κακίαι. εἰσὶ δ' αὗται· σωφροσύνη· ἀνδρεία· δικαιοσύνη καὶ φρόνησις. κακίαι δ' ὀκτώ· ἀκολασία· μισαλληλία· θρασύτης· δειλία· ἀδικία· ἀνισότης· δεινότης καὶ ἡ ἀφροσύνη· διαίρεσις σωφροσύνης· ἀντίκειται αὐτῇ ἀκολασία, ταύτῃ ἐπτόηνται οἱ θηλυμανεῖς, ἵπποι θηλυμανεῖς γινόμενοι, καὶ ἀκρατῶς πρὸς τὰς ἀτάκτους ἡδονὰς χρεμετίζοντες· ἀντίκειται αὖ ταύτῃ μισαλληλία, ταύτῃ ἐπτόηνται μανιχαῖοι καὶ βορβορῖται, τὸν μὲν τέως βδελυττόμενοι γάμον, πρὸς δὲ τὰς αἰσχρὰς ἡδονὰς ἀκρατεῖς ὄντες, ὡς ἂν τύχοι ἡ ἕξις χαρακτηρίζει τὴν μυσαράν, ἢ συμπλεκομένη ἐπιθυμίαις οὖσα. ἀνδρεία· ἀντίκειται αὐτῇ θρασύτης ὡς ἐπὶ λεόντων. τοιοῦτοι εἰσὶν οἱ ἀκόλαστοι, ὡς οὐ κατὰ μόνης τῆς ἁμαρτίας κινούμενοι, ἀλλὰ καὶ κατὰ τῶν ἀνδρειοτέρων διεγειρόμενοι. ἀντίκειται αὐτῇ δειλία ὡς ἐπὶ τοῖς λαγωοῖς. τοιοῦτοι εἰσὶν οἱ ἄνανδροι, οὓς θορυβεῖ καὶ ἦχος φύλλου. τὸ γὰρ ἀνδρεῖον, οὐδὲ ὁρμαὶ ἀσεβῶν θρυλλοῦσιν, οὐδὲ πτῶσις ἐπερχομένη. δικαιοσύνη· ἀντίκειται αὐτῇ ἀδικία ὡς ἐπὶ ὁ πέρδιξ. τοιοῦτοι εἰσὶν οἱ τὰ δίκαια τοῦ δικαίου ἀποστεροῦντες, ὡς ἐπὶ ὁ πέρδιξ συνάγων ἃ οὐκ ἔτεκε· ἀντίκειται αὐτῇ ἀνισότης, ὡς ὁ πελαργὸς μόνος τοὺς γονεῖς ἀντιτρέφων γηρῶντας· τοιοῦτοι εἰσὶν οἱ μὴ πρὸς πάντας ἀνοίγοντες τὰ σπλάγχνα. φρόνησις· ἀντίκειται αὐτῇ δεινότης, ὡς ἀλώπηξ νεκρὰν προσποιουμένη ἑαυτὴν καὶ θηρῶσα [illegible]

λῇ τῇ φρονήσει τῶν τελείων. τουτέστιν οἱ εἰς τὸ κακὸν πο-
νηροὶ μόνον σοφοί. ἀντίκειται αὐτῇ ἀφροσύνη, ὡς ὁ ἀσπάλαξ.
τουτέστιν οἱ περὶ τὸν νοῦν, οἱ καὶ ἀπερισκέπτως ἐν τῷ
βίῳ κινούμενοι, φθείρουσι καὶ συγχέουσιν ὥσπερ ὁ ἀσπά-
λαξ. αἱ μὲν οὖν χαρακτηρίζουσαι τοὺς λογικοὺς καὶ θείους
ἄνδρας, αἱ τέσσαρες αὗται δηλονότι εἰσὶν ἀρεταί. αἱ δὲ μετὰ
τὴν παράβασιν ἐπεισελθοῦσαι τῷ βίῳ, αἱ ταύταις ἑπόμεναι
δηλῶ κακίαι τυγχάνουσιν, ἃς καὶ τὰ ἄλογα ζῶα φυσικῶς ἔ-
χοντα ὑφ' ἑαυτῶν ἀναλίσκονται. πολλοὶ μὲν ὥσπερ γὰρ παρ' ἐκτρο-
πήν, τοῖς μὲν ἀλόγοις ταῦτα ἀπένειμε, ἵνα ὅταν παραβαίνω-
μεν τὰ ἐφ' οἷς γεγόναμεν ἀγαθὰ ἔργα, γνῶμεν ἑαυτοὺς ὅτι
ἀνθ' οἵων γινόμεθα, καὶ τίνα μιμούμεθα οἱ κατ' εἰκόνα θεοῦ
ἐπ' ἔργοις ἀγαθοῖς πλασθέντες. ἄνθρωπος γὰρ ἐν τιμῇ ὢν οὐ συνῆ-
κε, διὰ τὸ τιμήσωμεν τὸν τιμήσαντα ἡμᾶς ἐνδυόμενοι τὴν
εἰκόνα, ἵνα μᾶλλον τῷ κτίσαντι κατὰ δύναμιν ὁμοιωθῶμεν
καὶ μὴ τοῖς κτήνεσιν :–

Τί δ' αὖ τί; τίνες ἀρεταὶ ψυχῆς, καὶ τίνες σώματος :– Θ

Τίνες ἀρεταὶ ψυχῆς καὶ τίνες σώματος. ἀρεταὶ ψυχῆς εἰσὶν
αὗται. ἀγάπη. ταπείνωσις. πραότης. μακροθυμία. ἀνεξι-
κακία. ἀοργησία. ἄθυμον. ἄφθονον. ἄκακον. ἀκενόδοξον.
ἐλεημοσύνη. σωφροσύνη. ἀφιλάργυρον. ἀπάθεια. ἄτυφον.
ἀνυπερήφανον. ἀμνησίκακον. κατανυκτικόν. ἀρεταὶ δὲ σώ-
ματός εἰσιν αὗται. χαμευνία. ἀγρυπνία. ἀκτημοσύνη.
ἐγκράτεια καὶ τὸ ἀπερίσπαστον :–

–: –

Κλήμεντος στρωματέως, περὶ ἀγάπης, ὅτι τρία εἴδη ἀγάπης:

Τρία μὲν εἴδη φιλοσοφίας διδασκόμεθα, καὶ τούτων τὸ μὲν πρῶτον, ἄριστον τὸ κατ' ἀρετήν· στερρὰ γὰρ ἡ ἐκ λόγου ἀγάπη. τὸ δεύτερον καὶ μέσον, τὸ κατ' ἀμοιβὴν κοινωνικόν· τοῦτο δὲ μεταδοτικὸν καὶ βιωφελές· κοινὴ γὰρ ἤδη ἡ ἐκ χάριτος φιλία. τὸ δ' ὕστατον καὶ τρίτον, ἡμεῖς τὸ ἐκ συνηθείας φαμέν, οἱ δ' ἕλληνες φασὶ τὸ καθ' ἡδονὴν τρεπτὸν καὶ μεταβλητόν. οὐκοῦν, ἡ μὲν τῶν ἐστὶ φιλοσοφίας φιλία, ἡ δ' ἀνθρώπου, ἡ δὲ ζώου:

Εὐαγρίου:

Ἡ τῶν ἀνθρώπων ἀγάπη, εἰς τέσσαρα μερίζεται πρόσωπα. ὁ μὲν διὰ θεὸν ἀγαπᾷ ὃν ἀγαπᾷ. ὁ δ' ἐπεὶ πλούσιός ἐστι, χάριν λήψεως δώρων. ὁ δ' ἐμπαθῶς. καὶ ὁ μὲν εἰλικρινῶς, δοξάζει ὃν ἀγαπᾷ. ὁ δ' διὰ πλεονεξίαν. ὁ δὲ χάριν ἡδονῆς:

Μαξίμου, περὶ ἀποκαταστάσεως:

Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ ἐκκλησία. μίαν μὲν τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται τὸν ἐπ' αὐτῷ λόγον τῆς αὐτῆς ἐκπληρώσεως. δευτέραν δὲ τὴν τῆς φύσεως ὅλης ἐν τῇ ἀναστάσει εἰς ἀφθαρσίαν καὶ ἀθανασίας ἀποκατάστασιν. τρίτην δ' ἣ καὶ μάλιστα κατακέχρηται ἐν τοῖς ἑαυτοῦ λόγοις ὁ νύσσης γρηγόριος, καὶ ἔστιν αὕτη ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑποπεσουσῶν, εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. δεῖ γὰρ ὥσπερ τὴν ὅλην φύσιν ἐν τῇ ἀναστάσει τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζομένῳ ἀπολαβεῖν, καὶ οὕτως τὰς παρατραπείσας τῆς ψυχῆς δυνάμεις τῇ παρατάσει τῶν αἰώνων, ἀποβαλεῖν τὰς ἐντεθείσας αὐτῇ

τῆς κακίας μνήμας, καὶ περάσαντας τοὺς πάντας αἰῶνας καὶ μὴ εὑρίσκουσαν στάσιν, εἰς τὸ ἐπελθεῖν τὸ μὴ ἔχον τὰ πέρας, καὶ οὕτως τῇ ἐπιγνώσει, οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τὰς δυνάμεις, καὶ εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι καὶ δειχθῆναι τὸν δημιουργὸν ἀναίτιον τῆς ἁμαρτίας:

τοῦ Δαβὶδ, περὶ ἀνδρῶν ἀσεβῶν, καὶ περὶ αἱρετικῶν, ὅτι δεῖ χωρίζεσθαι ἀπ' αὐτῶν:

Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. ἐμίσησα ἐκκλησίαν πονηρευομένων. μὴ παραζήλου ἐν πονηρευομένοις:

τοῦ Σολομῶντος:

Υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν:

σιράχ:

Ὁ ἁπτόμενος πίσσης, μολυνθήσεται. καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ, ὁμοιωθήσεται αὐτῷ:

τοῦ ἀποστόλου:

Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. παρακαλοῦμεν ὑμᾶς ἐν ὀνόματι τοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος:

τοῦ Χρυσοστόμου:

Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε. τί οὖν ἐὰν πονηρὸς ᾖ, πειθόμεθα; πονηρὸς πῶς λέγεις. εἰ μὲν πίστεως ἕνεκεν, φεῦγε αὐτὸν καὶ παραίτησαι. μὴ μόνον ἐὰν ἄνθρωπος ᾖ,

ἀλλὰ κἂν ἄγγελος ἐξ οὐρανοῦ καλῶν. ἀκούσατε πάντες οἱ τοῖς
αἱρετικοῖς συνεσθίοντες ὅσην ἔχει ἀπόφασιν, ὅτι τοῦ θεοῦ
ἐχθροί ἐστε. οὐδὲ γὰρ ὁ τοῖς ἐχθροῖς τοῦ βασιλέως συμφιλι-
άζων, δύναται τοῦ βασιλέως φίλος εἶναι. ἀλλ' οὐδὲ ζωῆς
ἀξιοῦται, ἀλλὰ σὺν τοῖς ἐχθροῖς ἀπόλλυται καὶ τὰ μείζονα
ὑπομένει. ἀκούσατε οἱ ὀρθόδοξοι τοῖς αἱρετικοῖς μὴ-
συγκαταβαίνετε. μὴ ἐν βρώμασιν ἢ ἐν πόμασιν, ἢ φιλίας
χάρισιν ἢ ἀγάπης. ὁ γὰρ σὺν τούτοις ἀπαλώμενος καὶ συγκατα-
βαίνων αὐτοῖς, ἀλλότριον ἑαυτὸν τῆς καθολικῆς ἐκκλησίας
καθίστησιν. ὁ δ' ἀληθὴς καὶ ἄδολος μαθητὴς τοῦ χριστοῦ μετὰ
παρρησίας κράζει. εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρε-
λάβετε, ἀνάθεμα ἔστω :-

Ἐκ τῶν διατάξεων τῶν ἁγίων ἀποστόλων :-

Φεύγετε τὰς κοινωνίας τῶν ἀκαθάρτων αἱρετικῶν, καὶ τὰς
πρὸς αὐτοὺς φιλίας ἀλλότριοι τυγχάνετε. περὶ γὰρ αὐτῶν ὁ
προφήτης Ἡσαΐας ἔλεγεν. οὐκ ἔστι λέγειν, χαίρειν τοῖς ἀσε-
βέσι λέγει κύριος :-

Τοῦ ἁγίου βασιλείου :-

Τὸν μὲν ἀσπασμὸν τοῦτον δηλονότι τὸν κοινόν, ὑπ' οὐδενὸς ἀ-
πηγόρευσεν ὁ κύριος εἰπών. ἐὰν ἀσπάσησθε τοὺς φίλους ὑ-
μῶν μόνον, τί περισσὸν ποιεῖτε. οὐχὶ καὶ οἱ ἐθνικοὶ τοῦτο
ποιοῦσιν; περὶ δὲ τοῦ συνεσθίειν ἔχομεν παραγγελίαν παρὰ
τοῦ ἀποστόλου ἐπὶ τίνων χρὴ παραιτεῖσθαι εἰπόντος. ἔγρα-
ψα ὑμῖν μὴ συναναμίγνυσθαι πόρνοις :-

-ς :-ς

ἀθανασίου ἀλεξανδρείας, ποῖαι ἀρεταὶ τοῖς ἄρχουσι πρέπουσιν :–

Πεφημισμένως μὲν ἀρεταὶ τοῖς ἄρχουσι πρέπουσι καὶ ἁρμόζουσι, τὸ συμπαθητικὸν καὶ φιλάνθρωπον, τὰ καὶ θεῷ ὑπάρχοντα. εἶτα τὸ ἀμνησίκακον. τὸ ἀόργητον. τὸ ἀπροσωπόληπτον. τὸ ἀδωροδόκητον, καὶ πρὸ πάντων τὸ μὴ εὐχερῶς μηδὲ ἀνεξετάστως διαβολαῖς καὶ λοιδορίαις πείθεσθαι. ἀπὸ γὰρ λογοποιΐας, πολλοὺς φόνους ποιοῦσιν ἀδίκως. ὡσαύτως καὶ ἐξ ἀπληστίας. ὁμοίως καὶ ἀπὸ μνησικακίας. ὥσπερ καὶ ἀπὸ θυμοῦ καὶ ἀπὸ δωροδοκίας. ἐκεῖνος τοίνυν ὁ ἄρχων θεῷ εὐάρεστός ἐστιν, ὁ μηδὲν τῶν τοιούτων παθῶν ἑαυτῷ κτώμενος :–

ἰωσήπου ἑβραίου, περὶ τοῦ ἅδου :–

Περὶ ἅδου ἐν ᾧ συνέχονται ψυχαὶ δικαίων τε καὶ ἀδίκων ἀναγκαῖον εἰπεῖν. ὁ ἅδης τόπος ἐστὶν ἐν τῇ κτίσει ἀκατασκεύαστος, χωρίον ὑπόγειον, ἐν ᾧ φῶς κόσμου οὐκ ἐπιλάμπει. φωτὸς τοίνυν ἐν τούτῳ τῷ χωρίῳ μὴ καταλάμποντος, ἀνάγκη σκότος διηνεκῶς τυγχάνειν ἐν τούτῳ τῷ χωρίῳ, ὃ ὡς φρούριον ἀπενεμήθη ψυχαῖς, ἐφ᾽ ᾧ κατεστάθησαν ἄγγελοι φρουροί, πρὸς τὰς ἑκάστου πράξεις διανέμοντες τάς τε τῶν τρόπων προσκαίρους κολάσεις. ἐν τούτῳ δὲ τῷ τόπῳ ἀφώρισταί τις λίμνη πυρὸς ἀσβέστου, ἐν ᾧ μὲν οὐδέπω τινὰ καταρερρίφθαι εἰλήφαμεν, ἐσκευάσθαι δὲ εἰς τὴν προωρισμένην ἡμέραν τοῦ θεοῦ, ἐν ᾗ δικαίας κρίσεως ἀπόφασις μία πᾶσιν ἀξίως προσενεχθείη. καὶ οἱ μὲν

ἄδικοι καὶ θεῷ ἀπειθήσαντες, τά τε μάταια ἔργα χειρῶν ἀνθρώπων καὶ τεκτονευσάμενα εἴδωλα ὡς θεὸν τιμήσαντες, ταύτης τῆς αἰωνίου κολάσεως ὡς ἄξιοι μαστιγμάτων γινόμενοι κατακριθῶσιν. οἱ δὲ δίκαιοι τῆς ἀφθάρτου καὶ ἀνεκλείπτου βασιλείας τύχωσιν, οἱ ἐν τῷ ᾅδῃ μὲν (συνεχόν), ἀλλ' οὐκ ἐν τῷ αὐτῷ τόπῳ ᾧ καὶ οἱ ἄδικοι. ἀλλ' οἱ μὲν δίκαιοι εἰς δεξιὰν φωταγωγούμενοι, καὶ ὑπὸ τῶν ἐφεστώτων ἀγγέλων κατὰ τόπον ὑμνούμενοι, ἄγονται εἰς χωρίον φωτεινὸν ἐν ᾧ οἱ ἀπ' ἀρχῆς δίκαιοι πολιτεύονται, οὐχ ὑπὸ ἀνάγκης κρατούμενοι, ἀλλὰ τῆς τῶν ἀγαθῶν καὶ ὁρωμένων θέας ἀπολαύοντες. οἱ δὲ ἄδικοι. οἱ δὲ ἄδικοι ἀριστερᾷ ἕλκονται ὑπὸ ἀγγέλων κολαστῶν, οὐκέτι ἑκουσίως πορευόμενοι, ἀλλὰ μετὰ βίας ὠθούμενοι :—

Τοῦ Χρυσοστόμου :—

Οὐκ ἔστιν ἓν τὸ λεγόμενον, ἀλλὰ διπλοῦν τὸ νοούμενον. ἔστι γὰρ σκοτεινὰ χωρία, ἀλλ' ὅσα ἐθεάθη πολλάκις δι' ὧν ἀντὶ λύχνου καὶ φωτὸς εἰργμένους ἐκεῖ. τὸ δὲ τοῦ ᾅδου χωρίον, ζοφῶδες ἅπαν ἐστὶ καὶ σκοτῶδες, καὶ οὐδέποτε φωτὸς ἐδέξατο φαῦσιν, ἕως οὗ κατῆλθεν αὐτὸς ὁ τῆς δικαιοσύνης ἥλιος :—

Ἐπιφανίου :—

Τί οὖν; πάντας ἁπλῶς ἐν ᾅδῃ σώζει Χριστὸς κατελθών; οὐμενοῦν, ἀλλὰ κἀκεῖ τοὺς πιστεύσαντας :—

Τοῦ ἁγίου ἀποστόλου Πέτρου :—

Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ θεὸν πνεύματι :—

τοῦ ἁγίου μαξίμου :-

Ἔθος ἐστὶ τῇ θείᾳ γραφῇ τοὺς χρόνους μεταλλάττειν, καὶ ἀλλήλους μετεκλαμβάνειν· τὸν μέλλοντα ὡς παρῳχηκότα, καὶ τὸν παρῳχηκότα ὡς μέλλοντα, καὶ τὸν ἐνεστῶτα εἰς τὸν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν χρόνον ἐκφωνεῖν, ὡς ἔστι δῆλον τοῖς ταῦτα πεπειραμένοις. Φασὶν οὖν νεκροὺς ἐνταῦθα λέγειν τὴν γραφήν, τοὺς πρὸ τῆς ἐπιδημίας χριστοῦ τελευτήσαντας ἀνθρώπους, οἷον τοὺς ἐν τῷ κατακλυσμῷ· τοὺς ἐν τῷ χρόνῳ τῆς πυργοποιΐας· τοὺς ἐν σοδόμοις· τοὺς ἐν αἰγύπτῳ· καὶ τοὺς ἄλλους τοὺς κατὰ διαφόρους καιρούς τε καὶ τρόπους τὴν πολύτροπον δίκην καὶ τὰς ἐξαισίους ἐπαγωγὰς τῶν θείων κριμάτων δεξαμένους, οἵτινες οὐχ ὑπὲρ ἀγνοίας θεοῦ τοσοῦτον ὅσον τῆς εἰς ἀλλήλους πλημμελείας τὴν δίκην ἔδωκαν, οἷς εὐηγγελίσθαι λέγει τὸ μέγα τῆς σωτηρίας κήρυγμα. κριθεῖσιν ἤδη κατὰ ἄνθρωπον σαρκί, τουτέστιν ἀπολαβοῦσι τῶν εἰς ἀλλήλους ἐγκλημάτων τὴν δίκην διὰ τῆς ἐν σαρκὶ ζωῆς, ἵνα ζήσωσι κατὰ θεὸν πνεύματι, τουτέστι ψυχῇ, δεχομένους κατὰ τὸν ᾅδην ὄντες τὸ τῆς θεογνωσίας κήρυγμα, διὰ τὸ καὶ νεκροὺς σῶσαι καταλελυθότος εἰς ᾅδην τοῦ σωτῆρος πιστεύσαντας. ὑπὲρ δὲ τοῦ διανοηθῆναι τὸ ῥητὸν οὕτως ἐκλάβωμεν. εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη κριθεῖσι κατὰ ἄνθρωπον σαρκί, ἵνα ζήσωσι κατὰ θεὸν πνεύματι :-

Κυρίλλου ἱεροσολύμων, περὶ τοῦ ἀντιχρίστου :-

Ἔρχεται δὲ ὁ ἀντίχριστος οὕτως, ὅταν πληρωθῶσιν οἱ καιροὶ τῆς ῥωμαίων βασιλείας, καὶ πλησιάζῃ λοιπὸν τὰ τοῦ κόσμου συντελείας. δέκα μὲν ὁμοῦ ἐγείρονται ῥωμαίων βασιλεῖς,

ἐν διαφόροις μὲν ἴσως τόποις, κατὰ δὲ τὸν αὐτὸν βασιλεύον-
τες καιρόν· μετὰ δὲ τούτους ἑνδέκατος ἐκ τῆς μαγικῆς κακοτε-
χνίας τὴν ῥωμαϊκὴν ἐξουσίαν ἁρπάσας, τρεῖς μὲν τῶν
πρὸ αὐτοῦ βασιλευόντων ταπεινώσει, τοὺς ἑπτὰ δὲ τοὺς ὑπο-
λειπομένους ὑφ' ἑαυτὸν ἕξων. πρῶτον μὲν ἐπιείκειαν ὡ-
σανεὶ λόγιός τις καὶ σοφός, σωφροσύνην τε καὶ φιλανθρωπίαν
ὑποκρινόμενος, σημείοις τε καὶ τέρασι τῆς ἐκ μαγικῆς ἀπά-
της ψευδέσιν ἰουδαίοις ὡσανεὶ χριστὸς ὁ προσδοκώμενος ἀπα-
τήσας, παντοίοις ὕστερον ἀπανθρωπίας καὶ παρανομίας ἐπιγρα-
φήσεται κακοῖς, ὡς πάντας ὑπερβαλέσθαι τοὺς πρὸ αὐτοῦ
γενομένους ἀδίκους καὶ ἀσεβεῖς. φονικὴν καὶ ἀποτομω-
τάτην καὶ ἀνελεῆ καὶ ποικίλην, κατὰ πάντων μέν, ἐξαι-
ρέτως δὲ καθ' ἡμῶν τῶν χριστιανῶν τὴν ὀργὴν ἕξων. ἐπὶ
τρία δὲ ἔτη καὶ μῆνας ἓξ τὰ τοιαῦτα τολμήσας, ὑπὸ τῆς δευ-
τέρας ἐξ οὐρανῶν ἐνδόξου παρουσίας τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
καταργηθήσεται :-

Τοῦ χρυσοστόμου, περὶ τῆς τριημέρου ἀναστάσεως :-

Ἕκτῃ ὥρᾳ τῆς παρασκευῆς ἐσταυρώθη ὁ κύριος, ἀπὸ ταύτης ἕως
ἐνάτης σκότος ἐγένετο, τοῦτο νύκτα μοι νόμιζε. ἀπὸ ἐνά-
της φῶς, τοῦτο πάλιν ἡμέραν· ἡ νὺξ αὖθις τῆς παρασκευῆς,
τὸ σάββατον δὲ πάλιν ἡμέραν· ἡ νὺξ τοῦ σαββάτου, ὁ τῆς
κυριακῆς ὄρθρος, κατὰ τὸν εὐαγγελιστὴν λέγοντα, τῇ ἐπι-
φωσκούσῃ εἰς μίαν τῶν σαββάτων :-

Ἰουδαίων πέρι· πῶς νοητέον τό, δι᾽ ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν:

Οἱ Ἰουδαῖοι ἁμαρτάνοντες, εἰς αἰχμαλωσίαν παρεδίδοντο. οἱ οὖν τούτους αἰχμαλωτίζοντες, οὐ τῇ τοῦ θεοῦ ὀργῇ, ἀλλὰ τῇ τῶν οἰκείων ξοάνων δυνάμει τὴν νίκην ἐπιγράφοντες, τῆς παντοκρατορικῆς δεξιᾶς ἀσθένειαν κατεψηφίζοντο:

Γρηγορίου τοῦ θεολόγου, περὶ βλέψεως ἐμπαθοῦς:

Φωτισθῶμεν ὀφθαλμοὺς ἵν᾽ ὀρθὰ βλέπωμεν, τὸ μηδὲν εἴδωλον πορνικὸν ἐν ἑαυτοῖς περιφέρωμεν ἐκ φιλοπόνου θέας καὶ περιέργου. κἂν γὰρ τῷ πάθει μὴ προσκυνήσωμεν, ἀλλὰ τὴν ψυχὴν ἐμολύνθημεν:

Φίλωνος:

Εἶδον κάλλος γυναικὸς βασανίζων μου τὴν διάνοιαν καὶ τὴν σωφροσύνην, καὶ τὸ μὲν ἔργον τῆς πορνείας διέφυγον, τὴν δὲ ἐμαυτοῦ παρθενίαν ἐμόλυνα κατὰ διάνοιαν καρδίας:

Τοῦ Χρυσοστόμου:

Τὸ ὄμμα γίνεται τῇ ἀκολάστῳ ψυχῇ, ἀντὶ που πράξεως ἐπιθυμίας ἀρχή:

Τοῦ αὐτοῦ:

Οὐκ ἂν ὁ μονάζων ἐκεῖνος εἴη παρθένος, εἰ κατὰ διάνοιαν ἐκπορνεύσῃ. ἡ γὰρ συγκατάθεσις τῶν λογισμῶν, πᾶσαν τὴν πρᾶξιν ἀπετέλεσεν. ἀψευδὴς γὰρ ὁ εἰπών, πᾶς ὁ ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. οὐδὲν δ᾽ ἐκτὸς τοῦ ἄρρενος καὶ τοῦ θήλεος. πάντες γὰρ τοῦ αὐτοῦ τυγχάνομεν φυράματος, καθὼς τὸ εὐαγγέλιον φησί. τὸ μὲν θέλημα ἀνδρὸς λέγει, τὸ δὲ θέλημα σαρκός. ἓν καὶ τὸ αὐτὸ πᾶν εἰρηκώς:

Τοῦ ἁγίου βασιλείου:

Νέος ὢν εἴτε τὴν σάρκα εἴτε τὸ φρόνημα, φεῦγε τὴν τῶν ὁμηλί
κων συνδιατριβήν, καὶ ἀποδίδρασκε αὐτῶν ὡς ἀπὸ φλογός.
ἐν καθέδρᾳ γὰρ μου πρὸ πολλοῦ καθέστηκε ἀπ' αὐτῶν. ἐν ἀνα
κλίσει ὕπνου μὴ γειτνιαζέτω σοι τὰ ἱμάτια ἐκείνου:

Παροιμιῶν:

Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων
γυναικὸς πόρνης· ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον
ὅμως πικρότερον εὑρήσεις χολῆς, καὶ ἠκονημένον μᾶλλον μαχαί
ρας διστόμου:

Γρηγορίου τοῦ θεολόγου:

Μηδέ σε νικησάτω κάλλους ἐπιθυμία, μηδὲ συναρπασθῇς
τοῖς βλεφάροις εἰ δύναται μέζει τὸ παρὸ ἐρασθὲς. τὴν Εὔαν
ἐνθυμηθεὶς, τὸ γλυκὺ δέλεαρ. τὸ τιμώμενον φάρμακον.
πῶς γὰρ σώσει ἑτέρως ἡ ἀλλοτρία, ὃν ἀπώλεσεν ἡ ἰδία:

Τοῦ Χρυσοστόμου:

Τί δήποτε τὴν οὐρανῶν βασιλείαν, κόκκῳ σινάπεως παρεικά
ζει ὁ κύριος. διὰ τὴν εὐτέλειαν τῆς ἐν τῇ οἰκείᾳ συγκαταβάσει
πτωχείας. διὰ τὴν ἐν ἀρχῇ τοῦ εὐαγγελίου τοῦ ποιμενίου
σμικρότητα. διὰ τὴν ἔμφυτον τοῦ κόκκου δριμύτητα. διὰ
τὸ ἐκ μικροτάτου αὐξήσεως ἄρχεσθαι. καὶ διὰ τὸ μὴ διακόπτε
σθαι, ἀλλὰ ἀδιαίρετον καὶ ἀκεραίαν σώζειν ὑπόστασιν:

Τοῦ αὐτοῦ:

Τί δήποτε ζύμην τὴν αὐτὴν παρεικάζει βασιλείαν ὁ κύριος. διό
τι τὴν ἀξίαν αὐτοῦ σάρκα ἐξ ἡμῶν διὰ τῆς ἁγίας θεοῦ ἔλα

θεν, ἀναφυεῖσαν τὴν ἀπ' αἰῶνος ἀπόστασιν, καὶ εἰς παλιγγενεσίαν ἀνακαινίσαι :-

Λέοντος τοῦ δαμασκηνοῦ, τί ἐστι βασιλεία οὐρανῶν :-

Βασιλεία οὐρανῶν ἐστὶν ἀπάθεια ψυχῆς, μετὰ γνώσεως τῶν ὄντων ἀληθοῦς ὥς οἱ πατέρες φασί :-

Τοῦ αὐτοῦ :-

Βασιλεία θεοῦ ἐστι, γνῶσις τῆς ἁγίας τριάδος ὡς διδάσκουσιν οἱ ἅγιοι, συμπαρεκτεινομένη τῇ στάσει τοῦ νοός, καὶ ὑπερβάλλουσαν τὴν ἀφθαρσίαν αὐτῆς :-

Κυρίλλου ἱεροσολύμων, περὶ βρωμάτων :-

Καὶ περὶ τροφῆς ἡμῖν ἔστω ταῦτα τὰ δόγματα, ἐπειδὴ πολλοὶ καὶ περὶ τὰ βρώματα πταίουσιν. οἱ μὲν γὰρ τοῖς εἰδωλοθύτοις ἀδιαφόρως προσέρχονται. οἱ δ' ἀσκοῦσι μέν, κατακρίνουσι δὲ τοὺς ἐσθίοντας. καὶ διαφόρως ἐν τῷ περὶ βρωμάτων λόγῳ τινῶν ἡ ψυχὴ μολύνεται, ἀγνοούντων τὰς ἐπωφελεῖς αἰτίας. νηστεύομεν ἀπὸ οἴνου καὶ κρεῶν ἀπεχόμεθα, οὐχ ὡς ταῦτα βδελυττόμενοι, ἀλλὰ τὸν μισθὸν προσδοκοῦντες. ἵνα αἰσθητῶν ὑπεριδόντες, ἀπολαύσωμεν τῆς πνευματικῆς καὶ νοητῆς τραπέζης. καὶ ἵνα νῦν σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερίσωμεν ἐν τῷ μέλλοντι αἰῶνι. μὴ τοίνυν καταφρόνει τῶν ἐσθιόντων, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν μεταλαμβανόντων, μηδὲ ψέγε τοὺς ὀλίγῳ οἴνῳ χρωμένους, μήτε αὐτοὺς τοὺς πολὺ τοῦτο χρωμένους ὡς ἁμαρτωλοὺς κατακρίνῃς, μήτε ὡς ἀλλότρια μίσει τὰ κρέα. ἀπεχόμενος τοίνυν τούτων, μὴ ὡς βδελυκτῶν

ἀπέχου, ἐπεὶ μισθὸν οὐκ ἕξεις, ἀλλ᾽ ὡς καλῶν ὄντων ὑπερφρονεῖ διὰ τὰ προκείμενα νοητὰ καὶ καλλίονα. ἀσφαλίζου τὴν ψυχὴν μήποτε φάγῃς τῶν τοῖς εἰδώλοις προκειμένων. περὶ γὰρ τούτων οὐχ ἡμῖν μόνον, ἀλλ᾽ ἤδη καὶ τοῖς ἀποστόλοις καὶ ἰακώβῳ τῆς ταύτης ἐκκλησίας ἐπισκόπῳ σπουδὴ γέγονεν, καὶ γράφουσιν οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι πᾶσι τοῖς ἔθνεσι καθολικὴν ἐπιστολήν, προηγουμένως ἀπέχεσθαι τῶν εἰδωλοθύτων, ἔπειτα δὲ καὶ αἵματος καὶ πνικτοῦ. πολλοὶ γὰρ τῶν ἐν αὐτοῖς θηριώδεις ὄντες καὶ κυνῶν δίκην ζῶντες, τὸ μὲν αἷμα λάπτουσιν ἀγρίων τῶν θηρίων τρόπον, τὰ πεπνιγμένα δὲ καταεσθίουσιν ἀφειδῶς. σὺ δὲ ὁ τοῦ χριστοῦ δοῦλος ἐν τούτοις, ἔχε καὶ τὸ μετ᾽ εὐλαβείας ἐσθίειν :-

τοῦ χρυσοστόμου :-

Τί τὸ, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ. θησαυρὸν τὴν θεότητα λέγει, κρυπτομένην ἐν τῷ ἁγίῳ ναῷ τοῦ σώματος αὐτοῦ :-

περὶ βαπτίσματος :-

Τρία βαπτίσματα καθαρτικὰ πάσης ἁμαρτίας ὁ θεὸς τῇ φύσει τῶν ἀνθρώπων ἐδωρήσατο. τὸ δι᾽ ὕδατος. τὸ διὰ μαρτυρίου. καὶ τὸ διὰ δακρύων. εἰς ὅπερ καὶ ἡ πόρνη ἐκαθαρίσθη, καὶ πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων :-

τοῦ χρυσοστόμου, ἀπόδειξις ὅτι γινώσκουσιν ἀλλήλους ἐν τῷ μέλλοντι αἰῶνι οἱ δίκαιοι καὶ ἁμαρτωλοί :-

Τοῦτο τοῦ δεσπότου οἰκονομία ὅτι ταύτας ἐποίησε τὴν

κόλασιν τοῖς ἀσεβέσι, καὶ τὴν ἀνάπαυσιν τοῖς δικαίοις, ἵνα
βλέπωσιν ἀλλήλους καὶ ἀλλήλους γνωρίζουσι. καὶ γὰρ ἕκα
στος τότε μάρτυς τὸν ἴδιον τύραννον ἐπιγνώσεται, καὶ ἕκαστος
τύραννος τὸν ἴδιον μάρτυρα γνωρίσει ὃν ἐκόλασε. καὶ οὐκ
ἐμὰ τὰ ῥήματα, ἄκουε τῆς θείας λεγούσης. τότε ἐν πολ
λῇ παῤῥησίᾳ στήσεται ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάν
των αὐτόν. ὥσπερ γὰρ ὁ ὁδοιπόρος ἐν καύματι περιπατῶν ἂν
εὕρῃ καθαρὰν πηγὴν τῇ δίψῃ φλεγόμενος, καὶ πολλῷ τῷ λι
μῷ συνεχόμενος παρακαθέζεται τραπέζῃ ἐχούσῃ πάντα
τὰ ἐδέσματα, παρά τινος δὲ δυνατωτέρου κωλύεται μὴ ἅ
ψασθαι τῆς τραπέζης μηδὲ ἀπολαῦσαι τῶν ἐδεσμάτων, σφο
δρὰν ἔχει τὴν ὀδύνην καὶ τὴν κόλασιν, ὅτι τῇ τραπέζῃ πα
ρακαθέζεται καὶ τῶν βρωμάτων ἀπολαῦσαι οὐ δύναται, καὶ
ὅτι τῇ πηγῇ παρακαθεζόμενος τοῦ δὲ ὕδατος ἀπολαῦσαι οὐ
δύναται, οὕτως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως βλέπουσι τοὺς
ἁγίους εὐφραινομένους οἱ ἀσεβεῖς, καὶ τῆς δὲ βασιλικῆς τρα
πέζης ἀπολαῦσαι οὐ δύνανται. καὶ γὰρ καὶ τὸν ἀδὰμ κολά
σαι ὁ θεὸς βουλόμενος ἐποίησεν αὐτὸν ἐξεναντίας ἐργάζεσθαι
τὴν γῆν, ἵνα καθ' ἑκάστην ἡμέραν καὶ ὥραν βλέπων ἐκεῖ
νο τὸ χωρίον ὅθεν ἐξῆλθεν, ἔχει πάντοτε τὴν ὀδύνην ἐν τῇ
ψυχῇ. διὸ καὶ ἡμεῖς, εἰ καὶ ὧδε ἀλλήλους μὴ συντύχωμεν,
οὐδεὶς ὁ κωλύσων ἡμᾶς τότε μετ' ἀλλήλων διάγειν, καὶ ὀψό
μεθα τοὺς ἐξουθενοῦντας ἡμᾶς. ὥσπερ ὁ πλούσιος τὸν λάζα
ρον, καὶ οἱ μάρτυρες τοὺς τυράννους :—

Ἰωάννου τοῦ κλίμακος, περὶ γαστριμαργίας :—

Ὁ πληρῶν γαστέρα αὐτοῦ καὶ ἐπαγγελλόμενος σωφρονεῖν, ὅμοιός ἐστι τῷ λέγοντι χαλινοῦν πυρὸς ἐνέργειαν ἐν καλάμῃ. ὃν τρόπον γὰρ πυρὸς ἐκπνοὴν ἐν καλάμῃ τρέχουσαν ἐπέχειν ἀδύνατον, οὕτως ὁρμὴν ἀκόρεστον φλεγομένην ἐν κόρῳ παῦσαι ἀδύνατον. στῦλος γὰρ ἐπερείδεται βάσει, καὶ πορνείας πάθος ἐπαναπαύεται κόρῳ. Γαστριμαργία ἐστὶ καρυκείας δημιουργός, ἡδυσμάτων πηγή. χαίρει ἰουδαῖος σαββάτῳ καὶ ἑορτῇ, καὶ μοναχὸς γαστρίμαργος σαββάτῳ καὶ κυριακῇ. πρὸ χρόνου τὸ πάσχα ψηφίζει, καὶ πρὸ ἡμερῶν τὰ ἐδέσματα εὐτρεπίζει. ψηφίζει κοιλιόδουλος ἐν ποίοις βρώμασιν ἑορτάσει, ὁ δὲ θεόδουλος ἐν ποίοις χαρίσμασι πλουτήσει :—

Τοῦ Χρυσοστόμου :—

Ὁ βρώμασι δελεάζων καὶ τῆς γαστρὸς πληρῶν τὴν ἐπιθυμίαν, τὴν ψυχὴν ζημιοῖ, τὴν πνευματικὴν ἀπόλλων ἐπικαρπίαν. ὁ δὲ τὴν σάρκα μαραίνων καὶ τῶν βρωμάτων τὴν ἀδηφαγίαν ἐκφεύγων, τῶν κρειττόνων θησαυρίζει τὴν προσδοκίαν :—

Γρηγορίου Νύσσης, περὶ γέλωτος φυσιολογία :—

Ἐκ τῆς ἐναντίας διαθέσεως πλέον τοῦ συνήθους εὐρυνομένων τῶν πόρων, εἰσέλκεταί τι πνεῦμα δι' αὐτῶν ἐπὶ τὸ βάθος, κἀκεῖθεν πάλιν ἐξωθεῖται παρὰ τῆς φύσεως διὰ τοῦ κατὰ τὸ στόμα πόρου, πάντων τῶν σπλάγχνων καὶ μάλιστα τοῦ ἥπατος ὥς φασι διά τινος κλόνου καὶ βρασματώδους κινήσεως, τὸ πνεῦμα τοῦτο συνεξωθούντων. ὅθεν εὐκολίαν τινὰ τῇ διεξόδῳ τοῦ πνεύματος μηχανωμένη ἡ φύσις, ἀνευρύνει τὸν περὶ

τὸ στόμα πόρον ἐκπεφώνηκεν περὶ τὸ ἄσθμα τὰς ἀρτηρίας διαστέλλουσα. ὄνομα δ' αὐτῷ γενομένῳ ἦχος ἐστί:

Τοῦ ἁγίου Μαξίμου, περὶ διαφόρων δικαιοσυνῶν:

Τρεῖς δικαιοσύνας οἱ τὰ θεῖα σοφοὶ λέγουσιν εἶναι. ἀνθρωπίνην. ἀγγελικήν. καὶ θείαν. καὶ τὴν μὲν ἀνθρωπίνην φασί, τὴν ἐν τοῖς αἰσθητοῖς τοῦ κόσμου τούτου ἰσονομίαν τε καὶ εὐγνωμοσύνην. τὴν ἀγγελικὴν δέ, τὴν τῆς θείας γνώσεως ἄφθονον μετάδοσιν. τὴν δὲ θείαν δικαιοσύνην, ὁ εἴξοντα τὸ παθεῖν ὑπὲρ τῶν ἁμαρτανόντων:

Τοῦ αὐτοῦ:

Τρεῖς τρόποι δουλείας εἰσίν. ὁ κατὰ τὴν δημιουργίαν, καθώς φησι τὰ σύμπαντα δοῦλα σά. ὁ ἀπὸ τῆς πίστεως κατὰ τὸ εἰρημένον, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. καὶ ὁ ἀπὸ τῆς πολιτείας κατὰ τὸ εἰρημένον, μωϋσῆς ὁ θεράπων σου τετελεύτηκεν:

Τοῦ χρυσοστόμου, ἑρμηνεία τοῦ, ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραι τι ἐκ τῆς οἰκίας αὐτοῦ:

Ὁ τῆς παρούσης καταφρονήσας σκιᾶς, καὶ πᾶσαν τὴν ἐντεῦθεν καταπατήσας σκηνήν, καὶ ὑψηλὸς τῷ βίῳ γενόμενος, καὶ τὰ ἔνοικα πάθη ἀποπεμψάμενος, μηδὲν τῶν αὐτῶν ἐπισπάσθω. μὴ δέος. μὴ ἀθυμία. μὴ δόξαν κενὴν καὶ ὄρεξιν πλούτου, ἅπερ ἀφ' ὕψους ὑπάρχει καταβάσεις:

Ἰσιδώρου πηλουσιώτου, εἰς τὰ δέρματα τῶν ἐρίφων, ἅπερ ἰακὼβ περιθέμενος ἠνίξατο:

Τὸν κύριον καὶ σωτῆρα ἠνίξατο, τὴν ἐν ἁμαρτωλῷ φύσει ἀναμαρτήτως δεξάμενος, καὶ τὰ πάθη αὐτῆς ἐν αὐτῷ θανατώσαντος:

Τοῦ αὐτοῦ, πῶς νοητέον τό, ἀπῆλθε εἰς τὸ δεῖνα :—

Ὁ δεῖνα, μάρκος ἐστὶν ὁ εὐαγγελιστής· ἀνώγεον δὲ ὅπερ ἐκέκλητο τότε οἴκημα, νῦν δ' ἐστὶν ἡ ἁγία σιών· ἠνίξατο δὲ καὶ τὰ οὐράνια :—

Κοσμᾶ βεστίτορος, περὶ δακρύων φυσιολογία :—

Ὅπου γὰρ δριμεῖα λύπη, ἐκεῖ καὶ ἐγκάρδιος ὀδύνη· καὶ ὅπου πάλιν ἐκ βάθους ψυχῆς ἀδημονία, πικρὸν τὸ διὰ τῶν ὀφθαλμῶν ἐκχεόμενον δάκρυον· ἐπειδὴ στροβουμένης τῆς καρδίας θολοῦνται τῶν στοιχείων οἱ χυμοί, καὶ τὸ ὑγρὸν τῆς φύσεως, ὡς πικρίαν χλιαρὰν ἐπὶ τῶν ὀφθαλμῶν ἀναπέμποντες ἐκκενοῦσι :—

Γρηγορίου τοῦ νύσσης :—

Διαχέονταί πως καὶ λύονται δι' ἡδονῆς οἱ τοῦ σώματος πόροι τῶν ἐκ λύπης ἀηδείας διαχεθέντων· μόνους δὲ ἴσως αἱ λεπταί τε καὶ ἄδηλοι τῶν πόρων διαπνοαί, τὸ διασφίγξαι τὴν ἔνδοθεν τῶν σπλάγχνων διάθεσιν, ἐπὶ τὴν κεφαλὴν καὶ τὰς μήνιγγας τῶν νοτερῶν ἀτμῶν ἀναθλίβουσιν· οὓς πολλοὺς ἐναποληφθεὶς ταῖς τοῦ ἐγκεφάλου κοιλότησι, διὰ τῶν κατὰ τὴν βάσιν πόρων ἐπὶ τοὺς ὀφθαλμοὺς ἐξωθεῖται· τῆς τῶν ὀφρύων συμπτύξεως, ἐφελκομένης διὰ σταγόνων τὴν ὑγρασίαν. ἡ δὲ σταγών, δάκρυον λέγεται :—

Ἰωάννου τῆς κλίμακος :—

Μεῖζον τοῦ βαπτίσματος μετὰ τὸ βάπτισμα, ἡ τῶν δακρύων πηγὴ καθέστηκε, εἰ καὶ τολμηρόν πως τὸ λεγόμενον. διότι ἐκεῖνο

μὲν τῶν προγεγονότων ἡμῖν κακῶν ἐστι καθαρτήριον, τὸ δὲ τῶν μεταγενεστέρων. κἀκεῖνο μὲν νήπιοι λαμβάνοντες πάντες ἐμολύναμεν, διὰ τοῦτο δὲ κἀκεῖνο ἀνακαθαίρεται. οἱ μὲν στεναγμοὶ καὶ ἡ κατήφεια βοῶσι πρὸς κύριον, τὰ δὲ ἐκ φόβου δάκρυα πρεσβεύουσιν. ἐκ πολλῶν οὖν διαφόρων τρόπων τὸ δακρύειν γίνεσθαι εἴωθεν, λέγω δὴ ἐκ φύσεως. ἐκ θεοῦ. ἐκ θλίψεως. ἐκ κενοδοξίας. ἐκ πορνείας. ἐξ ἀγάπης. ἐκ μνήμης θανάτου. πέφυκε δὲ πολλάκις τὸ δάκρυον τοὺς κουφοτέρους ἐπαίρειν, διόπερ καὶ τισὶν οὐ δίδοται:

Καισαρίου ἀδελφοῦ τοῦ θεολόγου, τίνος χάριν ὁ διάβολος συνεχωρήθη πολεμεῖν τοῖς ἀνθρώποις:

Δυνατὸς ὢν ὁ θεὸς παντελῆ ἀφανισμὸν καὶ ἀναίρεσιν τοῦ διαβόλου ποιήσασθαι οὐκ ἠβουλήθη, διὰ τὸ μὴ ἀγεράστους ἡμᾶς καταλειφθέντας ἐν τῇ μελλούσῃ αἰωνίῳ ζωῇ. μὴ ὄντος ἡμῖν ἐνταῦθα τινὸς ἀντιπάλου, πρὸς ὃν ἀγωνιζομένους οἱονεὶ ἐν σταδίῳ τῇ παρούσῃ ζωῇ, ἐν τῇ ἀμείψει ταύτης στεφάνων ἐπιτυχεῖν:

Γρηγορίου νύσσης, κατὰ ποῖον τρόπον ἐχθρός ἐστι τοῦ θεοῦ καὶ ἐκδικητὴς ὁ διάβολος:

Συνήθης τῷ διαβόλῳ ἀπατᾶν καὶ κολακεύειν ποικίλως ἵνα ἕλῃ, ἑλὼν δὲ εὐθὺς ἀπεμβαίνει καὶ τοῦ κειμένου καταγελᾷ, ἐπικομπάζει δὲ τῇ συμφορᾷ, καὶ τῇ αἰσχύνῃ τοῦ δελεασθέντος εὐφραίνεται. διὸ εἰκότως καὶ ὁ ψαλμῳδὸς ἐχθρὸν καὶ ἐκδικητὴν προσηγόρευσεν, τὸ τοῦ τρόπου παλίμβολον ἐκ τῶν ὀνομάτων σημαίνων ἐναντιότητος. αὐτῷ

γὰρ ἐκεῖνος οὐδέποτε γίνεται ἐν ἀσπονδοῖς τε καὶ φίλος· ὑποκείνεται δὲ τὸ φίλιον, ὅταν αὐτῷ θελήσει πρόσωπον ἀπάτης ἐνδύσασθαι :~

Τοῦ Χρυσοστόμου, πῶς νοητέον ἐπὶ τοῦ τὸ ἐμφύσημα :~

Πολλοὶ ἐνόμισαν ὅτι τὸ ἐμφύσημα, αὐτὸ ἦν ἡ ψυχή, τὸ ὅτι ἐκ τῆς οὐσίας τοῦ θεοῦ μετεδόθη τῷ σώματι ἡ ψυχή· ἔστι δὲ πολλῆς οὐ μόνον ἀνοίας, ἀλλὰ καὶ ἀσεβείας μεστὸς ὁ λόγος. εἰ γὰρ ἐκ τῆς οὐσίας τοῦ θεοῦ ἡ ψυχή, οὐκ ἐχρῆν ἐν ἁμαρτίᾳ μὲν εἶναι ποτέ, ἐν ἄλλῳ δὲ μοιχεῦσαι καὶ ἀσεβεῖν. τί οὖν βούλεται τὸ ἐμφύσημα, ἀναγκαῖον εἰπεῖν. ἐπὶ τοῦ τὸ ἐμφύσημα, ἡ τοῦ ἁγίου πνεύματός ἐστιν ἐνέργεια. ὥσπερ γὰρ ὕστερον ἐνεφύσησεν εἰς τὸ πρόσωπον τῶν ἀποστόλων καὶ εἶπεν λάβετε πνεῦμα ἅγιον, οὕτω τὸ ἐμφύσημα τὸ θεῖον ἀνθρωπίνως ἀκουόμενον, θεοπρεπῶς δὲ νοούμενον, τὸ πνεῦμά ἐστι τὸ προσκυνητὸν καὶ ἅγιον. τοῦτο τὸ πνεῦμα τὸ ἅγιον περιελθόν, οὐκ αὐτὸ γέγονε ψυχή, ἀλλὰ ψυχὴν ἔκτισεν. οὐκ αὐτὸ εἰς ψυχὴν μετεβλήθη, ἀλλὰ ψυχὴν ἐδημιούργησεν. δημιουργὸν γὰρ τὸ πνεῦμα τὸ ἅγιον, τὸ κοινωνοῦν τῇ δημιουργίᾳ τοῦ σώματος, τὸ τῇ δημιουργίᾳ τῆς ψυχῆς. πατὴρ γὰρ τε υἱὸς καὶ πνεῦμα ἅγιον, τῇ θείᾳ δυνάμει δημιουργεῖ τὸ πλάσμα. καὶ μὴ νομίσῃς ὡς μέρος μὲν ὁ πατὴρ συνεβάλλετο, μέρος δὲ ὁ υἱός, μέρος δὲ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ᾽ ἐκεῖνο λέγω, ὅτι καὶ πατὴρ ποιεῖ, υἱοῦ τὸ ἔργον καὶ τοῦ πνεύματος τὸ κατόρθωμα. καὶ υἱὸς δημιουργήσει, πατρὸς ἡ δημιουργία καὶ τοῦ ἁγίου πνεύματος ἡ ἐνέργεια :~

Μαξίμου μοναχοῦ, ὅρος εὐχῆς σύντομος:

Εὐχή ἐστιν ὑπόσχεσις τῶν ἐξ ἀνθρώπων θεῷ κατ' ἐπαγγελίαν προσαγομένων καλῶν. προσευχὴ δέ ἐστιν αἴτησις ὧν πέφυκε θεὸς ἀνθρώποις δωρεῖσθαι πρὸς σωτηρίαν, χορηγουμένην τοῖς ἀνθρώποις ἀγαθῶν ἐξαίτησις, ἀντίδοσιν φέρουσα τῆς τῶν προσευχομένων καλῆς διαθέσεως:

Τοῦ θεολόγου, περὶ ζωῆς αἰωνίου:

Μία ζωή, τὸ πρὸς τὴν ζωὴν βλέπειν. εἷς θάνατος ἡ ἁμαρτία, ψυχῆς γὰρ ὄλεθρος. τὰ δ' ἄλλα οἷς φρονοῦσί τινες, ὀνειράτων ὄψις ἐστὶ κατὰ τῶν ὄντων παίζουσα, τῆς ψυχῆς ἀπατηλὰ φάσματα:

Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου:

Ὅπερ γάρ ἐστιν ὄναρ ἓν πρὸς ἑκατὸν ἔτη, τοῦτό ἐστιν ὁ παρὼν βίος πρὸς τὴν μέλλουσαν ζωήν· μᾶλλον δὲ πολλῷ πλέον, ὅσον ἐστὶ σταγὼν μικρὰ πρὸς πέλαγος ἄπειρον, τοῦτό ἐστι χίλια ἔτη πρὸς τὴν μέλλουσαν ἐκείνην ἀπόλαυσιν. πέρας οὐκ ἔχει καὶ τέλος οὐκ οἶδε. καὶ ὅσον ἐστὶ τὸ μέσον ὀνειράτων καὶ τῆς τῶν πραγμάτων ἀληθείας, τοσοῦτον ἐστὶ τῆς καταστάσεως ταύτης καὶ τῆς ἐκεῖ τὸ διάφορον:

Μαξίμου:

Δύο ζωὰς ἐκ τῆς γραφῆς διδασκόμεθα. ἔστι τοίνυν ἡ μὲν πρώτη ζωή, ἡ μετὰ τὴν τῆς ἐντολῆς παράβασιν, πρόσκαιρος καὶ σαρκική. ἡ δὲ δευτέρα, ἡ μετὰ τὴν τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ τήρησιν, ἐπηγγελμένη τοῖς ἀξίοις ζωὴ αἰώνιος:

Ἱπποκράτους :

Ἡλικίας λέγουσί τινες ἑπτά· νηπίων· παιδικήν· μειρακίων· ἡβώντων· ἀκμαστικήν· παρακμαστικήν· γεροντικήν :

τοῦ νύσσης :

Ἡμέρα ἀνεκλήθη ταῦτα, διὰ τὸ λαμπρὸν καὶ φαιδρόν. τὸ γὰρ ἱλαρὸν καὶ φαιδρόν, ἥμερον καλεῖν εἰώθαμεν. καὶ τὴν γαλήνην ἡμερότητα. καὶ τὸ ἐξημερωθῆναι θηρία λέγομεν ἡμέρα. νὺξ δὲ παρὰ τὸ νύχος, ἢ παρὰ τὸ νύττειν, τὸ σπουδαιότερον καὶ ἐπιτρεπτικώτερον ποιεῖται :

τοῦ χρυσοστόμου, περὶ τοῦ κατ' εἰκόνα :

Τὸ κατ' εἰκόνα οὐκ ἐν τῷ σώματι νοητέον, ἀλλ' ἐν τῇ λογικῇ ψυχῇ· διὰ τὸ νοερόν· διὰ τὸ λογικόν· διὰ τὸ αὐτεξούσιον· διὰ τὸ ἀθάνατον. ἐπὶ πᾶσι δὲ καὶ τὸ κατὰ πάντων τῶν ἐπιγείων βασιλικὸν ἀξίωμα, ἅπερ εἰ καὶ ἀπεβλήθη ταῦτα τῇ φύσει μετὰ καὶ τῆς ἀθανασίας τοῦ πλάσματος :

τοῦ ἁγίου βασιλείου :

Κατ' εἰκόνα ἔχω, ἐν τῷ λογικὸς εἶναι· καθ' ὁμοίωσιν δὲ γίνομαι, ἐν τῷ χριστὸς γενέσθαι. γίνεσθε γάρ φησι τέλειοι, ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστιν. ἐὰν οὖν θέλῃς ὅμοιος, ἐστὶν ὅτι σὺ τὸν ἁμαρτωλὸν ὁ θεός, τί οὐ σὺ γίνῃ εἰς τὸν εἰς σὲ πλημμεληκότα ἀδελφόν, τῇ πρὸς τὸν πλησίον εὐσπλαγχνίᾳ, ὅμοιος θεῷ :

Κλήμεντος :

Τῇ ἑαυτοῦ φωτοειδεῖ μορφῇ ὁ θεὸς ὡς ἐν μεγίστῃ σφραγῖδι τὸν ἐν ἀνθρώπῳ αὐτοῦ ἐνετύπωσε, πῶς ἂν πάντων ἄρχῃ καὶ κυριεύῃ, καὶ πάντα αὐτῷ δουλεύῃ. διὸ κεῖνος εἶναι τὸ πᾶν

αὐτὸν καὶ τὴν ἑαυτοῦ εἰκόνα τὸν ἄνθρωπον. οὗτος ἀόρατος. ἡ γὰρ αὐτοῦ εἰκὼν ὁ ἄνθρωπος ὁ ὁρατός. ὅθεν ἐάν τις ποιήσῃ ἀνθρώπῳ εἴτε ἀγαθὸν εἴτε κακόν, εἰς ἐκεῖνον ἀναφέρεται. διὸ ἐξ αὐτοῦ κρίσις πᾶσι κατ᾽ ἀξίαν πᾶσιν ἀπονέμουσα περιελεύσεται, τὴν γὰρ αὐτοῦ μορφὴν ἐκδικεῖ:-

Φίλωνος:-

Μετὰ πάντα τὸν ἄνθρωπον γεγενῆσθαι φησὶν ἡ γραφὴ κατ᾽ εἰκόνα θεοῦ καὶ ὁμοίωσιν. πάνυ καλῶς. ἐμφερέστερον γὰρ οὐδὲν γηγενὲς ἀνθρώπου θεῷ. τὴν δ᾽ ἐμφέρειαν μηδεὶς εἰκαζέτω σώματος. οὔτε γὰρ ἀνθρωπόμορφος ὁ θεός, οὔτε θεοειδὲς τὸ ἀνθρώπου σῶμα. εἰ δ᾽ εἰκὼν λέλεκται, ἀλλὰ κατὰ τὸν τῆς ψυχῆς ἡγεμόνα νοῦν. πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον ὡς ἂν ἀρχέτυπον, ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἀπεικονίσθη, τρόπον τινὰ θεὸς ὢν τοῦ φέροντος αὐτὸν καὶ ἀγαλματοφοροῦντος. ὃν γὰρ ἔχει λόγον ὁ μέγας ἡγεμὼν ἐν παντὶ τῷ κόσμῳ, τοῦτον ὡς ἔοικε καὶ ὁ νοῦς ἐν τῷ σώματι. ἀόρατος γάρ ἐστιν, αὐτὸς τὰ πάντα ὁρῶν, καὶ ἄδηλον ἔχων τὴν οὐσίαν:-

Γρηγορίου Νύσσης, ὅτι διὰ πάντων ἐπισημαίνεται τὴν ἀρχικήν, ἡ τοῦ ἀνθρώπου κατασκευή:-

Καθάπερ γὰρ ἐν τῷ βίῳ τούτῳ καταλλήλως τῇ χρείᾳ σχηματίζεται παρὰ τῶν τεχνιτευόντων τὸ ὄργανον, οὕτως οἷόν τι σκεῦος εἰς βασιλικὴν ἐνέργειαν ἐπιτήδειον τὴν ἡμετέραν φύσιν ὁ ἀριστοτέχνης ἐδημιούργησε. τοῖς τε κατὰ τὴν ψυχὴν προτερήμασι καὶ αὐτῷ τῷ τοῦ σώματος σχήματι τοιοῦτον εἶναι παρασκευάσας, οἷον ἐπιτηδείως πρὸς βασιλέα ἔχειν. ἡ

μὲν ψυχὴ τὸ βασιλικὸν καὶ ἐπιμελοῦν αὐτοῦ δεικνυσι,
πόρρω τῆς ἰδιωτικῆς ταπεινότητος πεφωτισμένου καὶ τοῦ
ἀληθοῦς αὐτὴν εἶναι τὲ αὐτεξούσιον, ἰδίοις θελήμασιν
ἀνεκφοίτητως διοικουμένην. εἷς γὰρ ἄλλου τοῦ τε
καὶ οὐ βασιλέως ἐστί. καὶ εἰ μὲν πρὸς τοῦτο τὸ δυνα-
στευόμενον τῶν παθῶν φύσεως εἰκόνα γενέσθαι, οὐδὲν
ἔτερον ἐστιν ἢ εὐφυὲς βασιλίδα δημιουργῆσαι τὴν φύσιν.
ὡς γὰρ κατὰ τὴν ἀΐδιον ζωὴν δεῖται οἱ τὰς εἰκόνας τῶν
κοσμικῶν καταστολίζοντες, τὴν χαρακτῆρα τῆς μορ-
φῆς ἀναμένουσαν, εἰ μὴ πρεπόντως τῆς πορφυρίδος τὴν
βασιλικὴν ἀξίαν ζωγραφοῦσι, λέγεται κατὰ τὴν-
ζωὴν δεῖται καὶ ἡ εἰκὼν βασιλική, οὕτω καὶ ἡ ἀΐδιος φύσις.
ἐπειδὴ πρὸ ἀρχῆς τῶν ἄλλων καλοκαγαθῶν δεῖται πρὸς
τὸν βασιλέα τῶν πάντων ὁμοιώματος, οἷόν τις ἐμψυχος εἰ
καὶ ἀνεκφοίτητος ποιοῦσα τὸν ἀρχέτυπον τὴν ἀξίαν καὶ
τὸν ὀνόματος, οὐ πορφυρίδα περικειμένη, οὐδὲ σκῆπτρον
καὶ διαδήματα τὴν ἀξίαν ἐπισημαίνουσα. οὐδὲ γὰρ τὸ ἀρχέ-
τυπον ἐν τούτοις ἐστίν, ἀλλ' ἐν μὲν τῷ ἀληθεῖ, τὴν ἀρετὴν
ἡ μελετωμένη, ὁ δὴ παθῶν βασιλικῶν τῶν ἀπαθείων ἐστίν.
ἐν δὲ τῷ δοκήσει, τὴν μακαριότητα τῆς ἀθανασίας ἐρεῖ
δημεύη. ἐν δὲ τῷ βασιλικῷ διαδήματος, δικαιοσύνης
τε φαντασιοκοπουμένη. ὡς δὲ διὰ παθῶν εἰ δὴ τῆς βασιλείας
ἀξιώματα δείκνυσθαι δ' ἀκεκτείας πρὸς τὸ ἀρχέτυπον-
κάλλος ὁμοιωθῆναι :-ζ

:-ζ :-ζ :-ζ

Τοῦ αὐτοῦ:—

Ἐπειδὴ τοίνυν θεοειδῆ τινα ἄγειν τὸ πλάσμα τὸ ἡμέτερον ὁ ποιητὴς δεδώρηται τῶν ἰδίων ἀγαθῶν ἐνθεὶς τῇ εἰκόνι τὰς ἰδιότητας, διὰ τοῦτο τὰ μὲν λοιπὰ τῶν ἀγαθῶν ἔδωκεν ἐκ φιλοτιμίας τῇ ἀνθρωπίνῃ φύσει· νοῦ δὲ καὶ φρονήσεως οὐκ ἔστι κυρίως εἰπεῖν ὅτι δέδωκεν, ἀλλ' ὅτι μετέδωκε, τὸν ἴδιον αὐτοῦ κόσμον ἐπιβαλὼν τῇ εἰκόνι:—

Ἀναστασίου πατριάρχου Ἀντιοχείας:—

Οὐ μίαν τινὰ εἰκόνα καὶ ὁμοίωσιν ὁ ἄνθρωπος κέκτηται, ἀλλὰ καὶ δευτέραν τε τρίτην καὶ τετάρτην καὶ πέμπτην ἐξεικονίζων. ὥσπερ ἐν ἐσόπτρῳ τινὶ καὶ σκιαγραφίᾳ φυσικῇ οὐ τυπικῇ, τῆς τρισυποστάτου θεότητος τὸ μυστήριον. οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς αὐτῆς τριάδος θεοῦ λόγου σαφῶς προδιαγράφων. καὶ τὸ κατ' εἰκόνα μέν ἐστι γυμνὴ ἡ ψυχή, τῆς γυμνῆς θεότητος. καθ' ὁμοίωσιν δὲ τῆς τοῦ θεοῦ λόγου σαρκώσεως, τὸ σύνθετον ἡμῶν τῆς ψυχῆς καὶ τοῦ σώματος. μᾶλλον δὲ πάλιν ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδεξάμενοι, ἐκεῖθεν ὥσπερ ἐκ τινος πηγῆς πρῶτον ζητοῦντες τὸ κατὰ τί ποτε μὴ καθ' ὁμοιότητα τῶν λοιπῶν λογικῶν ἤγουν τῶν ἀγγέλων, ἢ πάλιν κατ' ἰδιότητα τῶν ἐμψύχων ζώων ὁμοιοτρόπως τὰς πρωτοπλαστικὰς καὶ κορυφαίας ἡμῶν ὁ θεὸς ὑποστάσεις τοῦ ἀδὰμ λέγω καὶ τῆς εὔας καὶ τοῦ προελθόντος ἐξ αὐτῶν υἱοῦ πεποίηκεν. ἀλλὰ τὸν μὲν ἀδὰμ ἀναιτίως καὶ ἀγεννήτως ὑπέστησε, τὸν δὲ δεύτερον αὐτοῦ ἄνθρωπον τὸν υἱὸν γεννητόν. τὴν δὲ εὔαν, οὔτε γεννητῶς οὔτε πάλιν ἀναιτίως, ἀλλὰ ληπτῶς ἤτοι

ἐκπορευτῶς, ἐκ τῆς οὐσίας τοῦ ἀναιτίου ἀδιαιρέτως ἐξελθοῦσαι ἀρρήτως οὐσίωσιν· καὶ μήπως ἄρα αἱ τρεῖς αὗται τῶν προγόνων κεφαλαὶ πάσης τῆς ἀνθρωπότητος ὁμοούσιοι ὑποστάσεις κατ' εἰκόνα τινὰ ὡς καὶ μεθόδῳ δοκεῖ, τυπικῶς γεγόνασι τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος. τὸ μὲν ἀναιτίου τὸ ἀγεννήτου ἀδάμ, τύπον καὶ εἰκόνα ἔχοντος τοῦ ἀναιτίου καὶ πάντων αἰτίου παντοκράτορος θεοῦ καὶ πατρός· τὸ δὲ γεννητὸν τοῦ αὐτοῦ υἱοῦ εἰκόνα προδιαγράφοντος, τὸ γεννητὸν τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ· τῆς δὲ ἐκπορευτῆς εὔας σημαινούσης τὴν τοῦ ἁγίου πνεύματος ἐκπορευτὴν ὑπόστασιν, διὸ οὐδὲ ἐνεφύσησεν αὐτῇ ὁ θεὸς πνοὴν ζωῆς διὰ τὸ τύπον αὐτὴν εἶναι τοῦ ἁγίου πνεύματος πνοῆς καὶ ζωῆς, καὶ διὰ τὸ μέλλειν αὐτὴν δι' ἁγίου πνεύματος δέξασθαι θεὸν τὸν ὄντως ὄντα πάντων πνοὴν καὶ ζωήν· ὅθεν καὶ ἔστιν εἰδέναι καὶ θαυμάζειν, ὅτι ὥσπερ ἀγέννητος ἀδὰμ ἄλλον ἀγέννητον ἢ ἀναίτιον ἐν ἀνθρώποις οὐκ ἔχει ὅμοιον· ὥσπερ οὐδὲ ἡ ἐκπορευτικὴ εὔα. ὡς τύποι ἀληθεῖς ὑπάρχοντες τοῦ ἀγεννήτου πατρὸς καὶ τοῦ ἁγίου πνεύματος· ὁ δὲ γεννητὸς υἱός, πάντας ἀνθρώπους γεννητοὺς υἱοὺς ὄντας ἀδελφοὺς ὁμοίως ἔχει, ὡς κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν ὑπάρχων τοῦ γεννητοῦ υἱοῦ, ὃς ἐγένετο ἄνθρωπος πρωτότοκος ἄνευ σπορᾶς ἐν πολλοῖς ἀδελφοῖς. εἰ δὲ μὴ οὕτω καὶ κατὰ τοῦτο τὸ κατ' εἰκόνα ταῦτα, τί δή ποτε μὴ τέσσαρας ἢ δύο ἢ πλείονες ὑποστάσεις τῶν προπατόρων γεγόνασι παρηλλαγμένας ἔχουσαι τὰς ὑποστατικὰς αὐτῶν ἰδιότητας, λέγω δὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν, ἀλλὰ τρεῖς καὶ μόνας.

οὐ μικροῦ ἔχεις τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν τριά-
δα ἐν μονάδι ἐν τρισὶν ὑποστάσεσιν, ἀκολουθοῦσι γε μαθεῖν
καὶ μονάδα ἐν τριάδι. πῶς δ' οὖν τὸ καλῶς διαγνῶναι δυνή-
σῃ, ἀκούων τινὸς τῶν σοφῶν τι παραινοῦντος καὶ λέγοντος·
εἰ βούλει γνῶναι θεόν, πρόλαβε γνῶθι σαυτόν. ἐκ τῆς αὐτοῦ
φησὶ κατασκευῆς. ἐκ τῆς αὐτοῦ συνθέσεως. ἐκ τῶν ἐν τοῖς ἑαυ-
τοῦ. εἴσω ἡ ὑποδὺς ἐν σαυτῷ. διάβλεψον ἐν ἐπιστροφῇ ἐν
τῇ ψυχῇ ἑαυτοῦ. διάκρινον τὴν ταύτης κατασκευήν, καὶ
ὄψει σαυτὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ τυγχάνοντα. ἀνώ-
νυμος γὰρ καὶ ἄγνωστος καὶ νοερὰ καὶ ἀθάνατος τῆς ψυχῆς
ἡ οὐσία, κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου
καὶ ἀγνώστου καὶ ἀθανάτου θεοῦ καθέστηκεν. οὔτε γὰρ θεοῦ οὔ-
τε ψυχῆς λογικῆς οὐσίαν ἔγνω, τῶν αἰώνων τις γεγονημένων
ἀνθρώπων. ζωοποιὸς καὶ συσταλτικὴ καὶ περιοριστικὴ ἡ ψυχὴ ὑ-
πάρχει τῆς γεηροτέρου τοῦ σώματος φύσεως, κατ' εἰκόνα
θεοῦ τοῦ περιοριστοῦ πάσης τῆς γεηροτέρου καὶ τῆς ἄνω κτί-
σεως. διόπερ οὔτε τὸν τοῦ θεοῦ τόπον ἔνθα κατοικεῖ, ἀλλὰ
μόνον πιστεύομεν ὅτι πανταχοῦ ἐστιν. οὔτε μὴν τὸν τόπον τῆς ψυ-
χῆς οἴδαμεν ἔνθα οἰκεῖ ἐν σώματι, ἀλλὰ μόνον ἐπιστάμε-
θα ὅτι ἐν ὅλῳ παντὶ σώματι ἐστὶ καὶ ἐνεργεῖ. Ἔχει δὲ ἔτι
ἓν κατ' εἰκόνα θεοῦ ἡ ψυχή, λέγω δὴ τὸ ὑπερούσιον αὐτὴν
ἐπισημεῖα.
εἶναι πάσης κτιστῆς φύσεως. τὸ δ' πάντων παραδοξότερον
τὸ ἐν ἡμῖν κατ' εἰκόνα ἐκεῖνό ἐστιν, ὅτι οὔτε τὸ τοῦ θεοῦ ὑ-
πάρξεως τοὺς λόγους ἄγνινος νοῦς καταλαβέσθαι δύναται,
οὔτε τοὺς τῆς ψυχικῆς ἡμῶν οὐσίας, πῶς εἰς ὕπαρξιν πε-

φυκέτε καὶ παραμένεται. ἀλλὰ γε δὴ ἐπ' αὐτὸ τὸ κυριώτα-
τον τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἔλθωμεν, ὅπως καὶ
τὰς ὑποθέσεις δείξωμεν τὸ μοναδικὸν τό τε τριαδικὸν τῆς θε-
ότητος. ποῖον δέ ἐστι τοῦτο; εὔδηλον ὅτι ἡ ἡμετέρα πάλιν
ψυχή, καὶ ὁ ταύτης νοερὸς λόγος καὶ ὁ νοῦς, ὅν τινα ὁ ἀπό-
στολος πνεῦμα προσηγόρευσεν, ὅτε διακελεύεται ἁγίους ἡμᾶς τὸ ἄριστον.
εἶναι τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τῷ πνεύματι. ἀγέννητος μὲν γὰρ
πάλιν ἐστὶν ἡ ψυχὴ καὶ ἀναίτιος, εἰς τύπον τοῦ ἀγεννήτου
ἀναιτίου θεοῦ καὶ πατρός. οὐκ ἀγέννητος δὲ ὁ νοερὸς αὐτῆς λόγος,
ἀλλ' ἐξ αὐτῆς γεννώμενος ἀρρήτως καὶ ἀοράτως ἀνερμη-
νεύτως τε ἀπαθῶς εἰς τύπον τοῦ γεννητοῦ υἱοῦ. ὁ δὲ νοῦς,
οὐδὲ ἀναίτιός ἐστιν οὐδὲ γεννητός, ἀλλ' ἐκπορευτός, πάντα
διατρέχων καὶ τὰ πάντα διασκοπῶν, καὶ ἀοράτως ψηλα-
φῶν κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ παναγίου καὶ ἐκπορευ-
τοῦ πνεύματος, περὶ οὗ εἴρηται, ὅτι τὸ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ
βάθη τοῦ θεοῦ. οὐκ ἔστιν ἐκπορευτικὴ ἡ ψυχή, ἕως οὗ ἐστιν
ἐν τῷ σώματι. ἐπεὶ εἰ ἐκπορευθῇ τοῦτο, ἄρα ἂν καθ' ὥραν
ἀποθνήσκομεν. οὐκ ἔστιν ἀγέννητος ὁ λόγος ἡμῶν, ἐπεὶ ἄλο-
γοί τινες καὶ κτηνώδεις ὑπήρχομεν. τὸ δὲ παραδοξότερον
τῶν παραδόξων τούτων ἐκεῖνό ἐστιν, ὅτι ψυχὴν μὲν ἁπλῆν
τινα ἔχωμεν, ὁμοίως καὶ νοῦν μοναδικὸν καὶ ἀσύνθετον.
λόγον δὲ διπλοῦν διπλῆν ἔχοντα τὴν αὐτὴν τὴν γέννησιν, καὶ ἕνα
καὶ ἀμέριστον φυλαττόμενον. γεννᾶται γὰρ ὁ λόγος ἐν τῇ καρ-
δίᾳ γέννησίν τινα ἀκατάληπτον καὶ ἀσώματον, καὶ μένει
ἔνδον ἀδιόριστος. καὶ γεννᾶται δευτέραν γέννησιν τὴν διὰ

σωματικὴν διὰ χειλέων, τό τε τοῖς πᾶσι γνωρίζεται. τὸ δὲ γέν-
νητικὸν τῆς αὐτοῦ ψυχῆς οὐ γνωρίζεται, ἵνα διὰ τῶν δύο τούτων λό-
γου ἢ μᾶλλον γεννήσεων σαφῶς τὰς δύο τοῦ θεοῦ λόγου γεννήσεις
κατ᾽ εἰκόνα τινὰ καὶ ὁμοίωσιν μάθωμεν. γεγέννηται γὰρ
ἀοράτως καὶ ἀνερμηνεύτως πρὸ τῶν αἰώνων ἐκ πατρός, τὸ μὲν
ἄγνωστος ὡς ἐν τινι ψυχῇ πρὸς τὸν πατέρα, ἕως ὡς ἐκ τῆς ἐκ καρδί-
τινος τῆς ἀξίας παρθένου ἀφθόρως καὶ ἀπόνως γεγέννηται
τὸ κατὰ σάρκα καὶ ἐνεφανίσθη ἡμῖν σωματικῶς διὰ δευτέ-
ἄλλη θεωρία. ρας γεννήσεως. ὁρᾶται πάλιν ὡς ἐν εἰκόνι τινὶ καὶ τύπῳ
λέγω ἐν τῷ ἄνω, τὸ διττῆς ἐνεργείας ἔμφασις εἰς εἰκόνα
καὶ τύπον χριστοῦ. καθάπερ γὰρ ἡ αὐτοῦ θεότης ἐνήργει καὶ θεαν-
δρικῶς, ἐνήργει καὶ θεϊκῶς ἐν οὐρανῷ πρὸ τῆς τοῦ σώματος-
ἀναπλάσεως ὡς ἀπερίγραπτος καὶ μὴ περιγραφεὶς ἐν τῷ
σώματι, οὕτω καὶ ἡ ψυχὴ ἡ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν τοῦ
ἀοράτου θεοῦ λόγου ὑπάρχουσα, ἐνεργεῖ μὲν καὶ ψυχανδρι-
κῶς, τουτέστι σωματοψύχως, εἰς τύπον τοῦ θεανδρικοῦ χριστοῦ.
ἐνεργεῖ δὲ καὶ ψυχικῶς μόνον. πλεῖστα τινὰ μὴ συνεργοῦν-
τος αὐτῇ τοῦ οἰκείου σώματος εἰς τύπον τοῦ ἀοράτου θεοῦ
λόγου, τοῦ πολλὰ ἀοράτως ἐνεργήσαντος καὶ ἐνεργοῦντος
ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τὸ ἀπερίγραπτον αὐτοῦ καὶ παγ-
κοσμίου θεϊκῆς ἐνεργείας. ἡ οὖν ἀγάπη ἡ πρὸς θεὸν κατὰ
ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, οὐ χρήζουσα
ἐν τούτῳ τῆς συνεργείας τοῦ σώματος. ὁμοίως καὶ ἡ πίστις,
ψυχικῆς καὶ μόνης ἐνεργείας ἐστὶν ἔνδειξις. ὡσαύτως καὶ
ἡ ἐλπίς, κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν.

ὥσπερ καὶ ταπεινοφροσύνη, δι' ἐνεργείας ψυχῆς ἐνεργεῖται
καὶ ὑφίσταται, τὸ περιληπτικὸν εἰπεῖν, πάντα τὰ ἀναγκαῖα καὶ
ποιητικὰ ἀρετῆς, ὧν ῥίζα καὶ μήτηρ καὶ θεμέλιος ἐστὶν ἡ καθαρό-
της τῆς καρδίας, κατὰ τὴν νοερὰν καὶ μόνην τὴν λογικὴν τὴν
κατὰ ψυχῆς ἐνέργειαν ἐπιτελοῦνται, οὐ χρῄζουσαι τοῦ σώμα-
τος εἰς τὴν ἑαυτῶν ἐκπλήρωσιν. ὅθεν καὶ οἱ περὶ τὰ ἀσθε-
νεῖς καὶ ἀκίνητοι ὄντες τῇ σαρκί, δύνανται διὰ τῶν τοιούτων
ἀρετῶν τῇ κατὰ ψυχὴν ἐνεργείᾳ εὐαρεστῆσαι τῷ θεῷ. καὶ ἐν
τῷ ὕπνῳ ὃ μάλιστα τῶν καθ' ἡμᾶς δείκνυται τὸ διττὸν τῆς
καθ' ἡμᾶς ἐνεργείας. τοῦ γὰρ σώματος ὥσπερ νενεκρωμένας
καὶ σχεδὸν ἀνενεργήτους τὰς αἰσθήσεις ἔχοντος, ἡ νοερὰ
καὶ λογιστικὴ τῆς ψυχῆς ἐνέργεια ἀπερίληπτός τε καὶ ἀόρι-
στος τὰ πάντα περιπολεῖ. ἐπεὶ πῶς καὶ χωριζομένη τοῦ σώ-
ματος ἐν τῷ θανάτῳ συνίσταται ἡ λογικὴ ψυχή, εἰ μὴ διὰ
τῆς νοερᾶς αὐτῆς καὶ ζωτικῆς καὶ ἀειζώου ἐνεργείας. ταῦτα ἀθανασία.
μὲν ἡ θεόπνευστος γραφή, καὶ ἡ εὐαγγελικὴ καὶ ἀποστολι-
κὴ διδασκαλία, ἐν οὐρανοῖς εἶναι λέγουσι τὸν τὰ πάντα πλη-
ροῦντα θεόν, διὸ κἀκεῖθεν καταβεβηκέναι τὸν θεὸν λόγον ἐγνώ-
καμεν, καὶ ἐν οὐρανοῖς πάλιν μετὰ σαρκὸς αὐτὸν ἀναβεβη-
κέναι πιστεύομεν. οὐκοῦν εἰ ἄνω ἐστὶ τὸ θεῖον φῶς ὁ πατὴρ ἡ-
μῶν ὁ ἐν τοῖς οὐρανοῖς, τὸ ἄνω ὁ θεὸς λόγος τὸ ἐκ τοῦ φωτὸς φῶς,
καὶ ἄνω ἐν ὑψίστοις τὸ πνεῦμα τὸ ἅγιον, ἴσως κατ' εἰκόνα ταύ-
της τῆς ὑψίστου ἀξίας τελείως ἐν τοῖς ὑψηλοτέροις ὅλου τοῦ σώ-
ματος ἔχομεν τὸ φῶς καὶ τὸν λόγον καὶ τὸ πνεῦμα τῶν εἰκόνων.
πλησιοχώρως ἅτε καὶ ἐν τῷ ἄκρῳ ἐν τῇ ἡμετέρᾳ κεφαλῇ ἵδρυται

νοντα, καὶ κινεῖ θεῖν ὡς ἐξ ὁδοῦ τινος ὑψηλοῦ τὸν κόσμον τοῦ σώματος διοικοῦντα καὶ φωτίζοντα τοῦ τε ἐκκλησιαστικοῦ πλήρωμα :

σιράχ, περὶ κρειττόνων ἀνθρώπων, ὅτι οὐ δεῖ μετ' αὐτῶν διαμάχεσθαι :

Μὴ διαμάχου μετ' ἀνδρὸς δυνάστου, μήποτε ἐμπέσῃς εἰς χεῖρας αὐτοῦ. βάρος ὑπὲρ σὲ μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει. τί κοινωνήσει χύτρα πρὸς λέβητα, αὕτη προσκρούσει καὶ αὕτη συντριβήσεται. μεγιστάνοις κλῖνον τὴν κεφαλήν σου :

τῶν πράξεων :

Σκληρόν σοι πρὸς κέντρα λακτίζειν :

τοῦ θεολόγου :

Ὁ βάλλων λίθον εἰς ὕψος, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ βάλλει. τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν, ὠφελιμώτατον. μὴ κρῖναι τοὺς κριτάς, ὀλιγωρῶν τῆς ἀκριβείας. ἄλλος γὰρ ἄλλου κρείττων ἢ ταπεινότερος πού ἐστι, πᾶς ὑψηλότερος :

τοῦ σιράχ :

Μακρὰν ἄπεχε ἀπὸ ἀνδρός, ὃς ἔχει ἐξουσίαν φονεύειν. καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον θανάτου, κἂν προσέλθῃς. μὴ πλημμελήσῃς, ἵνα μὴ ἀφέληται τὴν ζωήν σου :

παροιμιῶν, περὶ καταλαλιᾶς :

Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς. ἀπὸ καταλαλιᾶς φείδου τῆς γλώσσης, ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύεται :

Τοῦ σιράχ:

Ὀφθαλμὸν καταγελῶντα πατρὸς, καὶ ἀτιμάζοντα γῆρας μητρὸς, ἐκκόψαισαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων, καταφάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν:

Τοῦ θεολόγου:

Οὐδὲν γὰρ οὕτως ἡδύ, ὡς τὸ λαλεῖν τοῖς ἀνθρώποις τὰ ἀλλότρια, καὶ μάλιστα ἐὰν τύχωσιν ὑπὸ εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ τελευταῖον ὡς τὰ πολλὰ κλέπτεσθαι ἡ ἀλήθεια:

Τοῦ χρυσοστόμου:

Ἐάν τίς σε εἴπῃ κακῶς, εἰ μὲν ἀληθὲς λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον:

Νείλου μοναχοῦ:

Λέγεις ὅτι ἐμπαίζων ἐλοιδόρησας, οὐκοῦν παίζων καὶ ἱλαρυνόμενος, ὑποστήσῃ τὴν αἰώνιον κόλασιν· καὶ μετεωριζόμενος, πορεύσου εἰς τὸ πῦρ τὸ αἰώνιον:

Τοῦ θεολόγου:

Τὸ τὰ ἀλλότρια περιεργάζεσθαι, ἀνελευθερίας ἁπάσης. οὐ δαιμόθεν γὰρ ἡ μελέτη, ἡ ἐκ τοῦ τὰ ἀλλότρια πολυπραγμονεῖν καὶ περιεργάζεσθαι· οὐ γάρ ἐστιν ἀνθρώπου τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς οἰκείας ποτὲ ἐπιμεληθῆναι ζωῆς: ἡ τὰ ἡμέτερα,

Τοῦ κλίμακος:

Μηδέποτε αἰδεσθῇς τὸν πρός σε τὸν πλησίον καταλαλοῦντα, μᾶλλον δὲ λέγε, παῦσαι ἀδελφέ· ἐγὼ καθημέραν χαλεπωτέροις πταίω, καὶ πῶς ἐκεῖνον κατακρίνειν δύναμαι. δύο γὰρ ταῦτα κερδανεῖς ἐν μιᾷ ἐμπλάστρῳ, καὶ σεαυτὸν

καὶ τὸν πλησίον ἰασάμενος :-

Τοῦ αὐτοῦ :-

Ἤκουσα καταλαλούντων καὶ ἐπέπληξα, καὶ τοῦτο πρὸς ἀπολογίαν οἱ τῶν κακῶν ἐργάται ἀπεκρίναντο, ὡς ἐξ ἀγάπης καὶ φροντίδος τοῦ καταλαλουμένου τοῦτο ποιοῦσιν. ἐγὼ δὲ παύσασθε ἔφην τῆς τοιαύτης ἀγάπης, ἵνα μὴ ψευδὴς ὁ λέγων, τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον :-

Τοῦ αὐτοῦ :-

Εἰ λέγεις ἀγαπᾶν, εὔχου λεληθότως καὶ μὴ σκῶπτε τὸν ἄνδρα. οὗτος γὰρ ὁ τρόπος δεκτὸς παρὰ κῳ :-

Περὶ τοῦ κλαυθμῶνος :-

Οἶμαι ὅτι ὁ κλαυθμὸς ἐστὶν ἐκεῖ, οὐχ ὁ γλυκὺς οὗτος ὁ ἐνθάδε γινόμενος, ὃ δέχεται γάρ τις ὧδε κλαίων καὶ κλαίῃ πικρῶς, ἀλλ᾽ ὅτι τὴν διορατικὴν καὶ βλεπτικὴν δύναμιν τοῦ νοός, ὃς δι᾽ ὑπερβάτης τινος ποιότητος λυπηρότητός τε καὶ ψυχρότητος νύσσων καὶ σκολίζων καὶ θλίβων, ἐκτείνωμην κλαστικῶς χεόμενος. βρυγμὸν δὲ ὀδόντων, τὸ βρύχειν τινὰ ἐκεῖ καὶ τρέμειν ἔσ᾽ που, τὸ συγκρούεσθαι τοῖς ἰδίοις αὐτοῦ λογισμοῖς ὀδυνώμενον. οἷόν τι πάσχουσιν οἱ ὧδε σωματικῶς ξυλίῳ σφοδροτάτῳ συνεχόμενοι, τὸν βρυγμὸν δεικνῦντες ὀδόντων ὑπὸ ψυχρότητος τινὸς χυμοῦ :-

τοῦ Κλίμακος, περὶ κενοδοξίας :-

Κενοδοξία ἐστὶ κατὰ μὲν τὸ εἶδος, φύσεως ἐναλλαγή, καὶ ἠθῶν διαστροφή, καὶ παρατήρησις μέμψεως. κατὰ δὲ τὴν ποιότητα, καμάτων σκορπισμός, ἱδρώτων ἀπώλεια, ἀπιστ

ἔγγονος, ὑπερηφανίας πρόδρομος. ἐπιτηρεῖ καὶ μέλει ἐξ ἱματίων τὴν ἀνοσίαν ἀνθοῦσαν, εὐχρήστοις ἐν ἱματίοις καὶ μύροις καὶ πομπῇ καὶ ἀρώμασι καὶ ἐσθῆσι. πᾶσιν ἀφθόνως λάμπει ὁ ἥλιος, καὶ πᾶσιν ἐπιτηδεύμασιν χαίρει κενοδοξία. οἷον τι λέγω, νηστεύων κενοδοξῶ, καὶ καταλύων ἵνα μὴ γνωσθῶ, ὡς φρόνιμος πάλιν κενοδοξῶ, ἡττῶμαι ταύτῃ. καὶ εὐτελῆ ἐξαλλάσσων πάλιν κενοδοξῶ. λαλῶν ἡττῶμαι, καὶ σιωπῶν πάλιν ἡττήθην, ὡς ἂν εἰ ῥίψῃς τὴν τρίβολον ταύτην ὀρθὸν τὸ κέντρον ἵσταται. κενόδοξός ἐστιν εἰδωλολάτρης πιστός, θεὸν μὲν τὸ δοκεῖν σεβόμενος, ἀνθρώποις δὲ καὶ οὐ θεῷ εὐαρεστεῖν βουλόμενος. κενόδοξός ἐστι πᾶς φιλενδεικτός. κενοδόξου νηστεία ἄμισθος, καὶ προσευχὴ ἄκαρπος. δι' ἐπαίνου γὰρ ἀμφότερα ἐργάζεται. κενόδοξος ἀσκητὴς ἀδικεῖται διπλῶς, τὸ μὲν σῶμα κατατήκων, μισθὸν δὲ μὴ λαμβάνων. τίς μὴ γελάσῃ τὸν τῆς κενοδοξίας ἐργάτην ἐν ταῖς ψαλμῳδίαις ἱστάμενον καὶ ὑπὸ ταύτης κινούμενον, ποτὲ μὲν γελᾶν, ποτὲ δὲ ἐπὶ πάντων κλαίειν παρασκευάζει. ἐν ψαλμῳδίᾳ στάντας, τοὺς ἀθύμους ἀνδρείους ἐποίησε, τοὺς ἀφώνους εὐφώνους, καὶ τοὺς νυστάζοντας ἀγρύπνους :-

Τοῦ Σολομῶντος, περὶ λύπης :-

Ἀπάτα τὴν ψυχήν σου, καὶ παρακάλει τὴν καρδίαν σου, καὶ μακρὰν λύπην ἀπῶσαι ἀπὸ σοῦ. πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη. ἡ γὰρ λύπη ποιήσει πάθος, καὶ τὸ πάθος ἐπάξει θάνατον :-

Τοῦ ἀποστόλου :-

Ἡ γὰρ κατὰ θεὸν λύπη, σωτηρίαν ἀμεταμέλητον τοῖς κτωμένοις κατεργάζεται :-

Τοῦ ἁγίου νείλου:

Λύπη ἐστὶ κατήφεια ψυχῆς, καὶ συνίσταται αὕτη ἀπὸ λογισμῶν ὀργῆς· ἀμύνης γὰρ ὄρεξις ἐστὶ θυμός· ἀποτυχία δὲ ἀμύνης ἐγγεννᾷ λύπην. λύπη στόμα ἐστὶ λέοντος, καὶ τὸν λυπούμενον καταπίνει εὐχερῶς· σκώληξ ἐστὶ καρδίας λύπη, καὶ κατεσθίει τὴν τεκοῦσαν μητέρα· ὠδίνει γὰρ μήτηρ ἐκβάλλουσα παιδίον, ἐὰν δὲ τέκῃ τῆς ὀδύνης ἀπαλλάττεται· λύπη δὲ καὶ γεννωμένη, πολλοὺς κινεῖ πόνους· καὶ μετὰ τὰς ὠδῖνας παραμένουσα, οὐ μικρῶς ὠδίνει:

Τοῦ χρυσοστόμου, διατί γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον:

Τίνος ἕνεκεν εἰ μὴ παρὰ τοῦ ξύλου τὴν γνῶσιν ἔλαβεν ὁ ἀδάμ, γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον εἴρηται· οὐ γὰρ μικρὸν τὸ μαθεῖν διατί ταύτην τὴν προσηγορίαν ἔχει τὸ ξύλον. πρότερον εἴδωμεν τί ποτέ ἐστι καλόν, καὶ τί πονηρὸν ἐπισκεψώμεθα. τί οὖν ἐστι καλόν, ἡ ὑπακοή· τί δὲ πονηρόν, ἡ παρακοή. διατί οὖν γνωστὸν καλοῦ καὶ πονηροῦ καλεῖται τὸ ξύλον, ἐπειδὴ ἡ ἐντολὴ ἡ γυμνάζουσα τὴν ὑπακοὴν καὶ τὴν παρακοὴν περὶ τὸ ξύλον ἐγένετο· ᾔδει μὲν γὰρ καὶ πρὸ τούτου ὅτι καλὸν ἡ ὑπακοή, κακὸν δὲ ἡ παρακοή, ἔμαθεν δὲ ὕστερον δι᾽ αὐτῆς τῶν πραγμάτων τῆς πείρας· ἔθος οὖν τῇ γραφῇ, ἐπειδὰν τινὶ πρᾶγμα γένηται ἐν τόποις ἢ ἐν καιροῖς, ἀπὸ τῶν πραγμάτων καλεῖν καὶ τοὺς τόπους καὶ τοὺς καιρούς. ἄκουε οὖν ἐν ὑποδείγματι. ὁ ἰσαάκ, ποτὲ φρέαρ ὤρυξεν, ἐπεχείρησαν οἱ γείτονες διαφθεῖραι· ἐγένετο τις ἀπέχθεια, καὶ ἐκάλεσε τὸ φρέαρ ἔχθρα· οὐκ ἐπειδὴ τὸ φρέαρ αὐτὸ ἤχθραινε, ἀλλ᾽ ἐπειδὴ

περὶ αὐτοῦ ἡ ἔχθρα ἐγένετο· πάλιν ὤρυξε φρέαρ ὁ ἀβραάμ, ἐπεβούλευσεν ὁ ἀβιμέλεχ· συνῆλθον καὶ ἔλυσαν τὴν ἔχθραν, καὶ ὅρκους δόντες ἀλλήλοις, ἐκάλεσαν τὸ φρέαρ ἐκεῖνο φρέαρ ὅρκου. οὐκ ἐπειδὴ τὸ φρέαρ ὤμοσεν, ἀλλ' ἐπειδὴ διὰ τὸ φρέαρ ὁ ὅρκος ἐγένετο. εἶδεν ὁ ἰακὼβ ἀγγέλους ἀπαντήσαντας αὐτῷ καὶ παρεμβολὴν θεοῦ, καὶ ἐκάλεσε τὸν τόπον παρεμβολάς. πάλιν εἶδε θεὸν ὡς ἀνθρώπῳ ἰδεῖν δυνατόν, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου εἶδος θεοῦ. καὶ μὴν οὐχ ὁ τόπος, ἀλλ' ἀπὸ τοῦ πράγματος τοῦ συμβάντος ἡ προσηγορία γέγονεν. οὕτω καὶ τὸ ξύλον γνωστοῦ καλοῦ καὶ πονηροῦ ἐκάλεσε, οὐκ ἐπειδὴ αὐτὸ εἶχε γνῶσιν καλοῦ καὶ πονηροῦ, ἀλλ' ἐπειδὴ περὶ αὐτὸ ἐγένετο ἡ ἀπόδειξις τοῦ καλοῦ καὶ πονηροῦ, καὶ ἡ γυμνασία καὶ ὁ ἔλεγχος τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς :-

τῆς ἐξόδου, περὶ ὀρφανῶν :-

Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. ἐὰν δὲ καὶ κακώσητε αὐτοὺς καὶ καταβοήσωσι πρός με, εἰσακούσομαι τῆς βοῆς αὐτῶν, καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ· καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ τέκνα ὑμῶν ὀρφανά :-

τοῦ δαβίδ :-

Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε :-

παροιμιῶν :-

Εἰς κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς, ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος, κραταιός ἐστι, καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ :-

ζαχαρίου τοῦ προφήτου :-

Χήραν καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ πένητα μὴ καταδυνα

στεύσητε :—   σειράχ :—

Γ ἐνοῦ ὀρφανοῖς ὡς πατήρ, καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν, καὶ
ἔσῃ ὡς υἱὸς ὑψίστου. δέησιν ἠδικημένων εἰσακούσεται κύριος,
καὶ οὐ μὴ ὑπερίδῃ ἱκετείας ὀρφανοῦ καὶ χήρας. ἐὰν ἐκχέῃ
λαλιάν, οὐχὶ δάκρυα ἐπὶ σιαγόνα καταβαίνοντα, καὶ ἡ κατα-
βασις ἐπὶ τῶν γονάτων αὐτῆς :—

ἰακώβου ἀποστόλου :—

Θ ρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ θεῷ αὕτη ἐστίν, ἐπι-
σκέπτεσθαι χήρας καὶ ὀρφανοὺς ἐν τῇ θλίψει αὐτῶν :—

δευτερονομίου, περὶ ὁρίων, ὅτι οὐ δεῖ μετακινεῖν αὐτά :—

Ο ὐ μετακινήσεις ὅρια τοῦ πλησίον σου, ἃ ἔστησαν οἱ πατέρες σου.
ἐπικατάρατος πᾶς ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον, καὶ ἐρεῖ
πᾶς ὁ λαὸς γένοιτο :—   ἰώβ :—

Ἀ σεβεῖς ὅριον ὑπερέβησαν :—   παροιμιῶν :—

Μ ὴ μετάθῃ ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου :—

τοῦ ἀποστόλου, περὶ οἰήσεως :—

Ε ἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γε-
νέσθω, ἵνα γένηται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μω-
ρία παρὰ τῷ θεῷ ἐστιν. ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις,
εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιούμενος κατὰ τοῦ ἑτέρου. εἴ τις δο-
κεῖ τι εἶναι μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ. τὸ δὲ ἔργον αὑ-
τοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύ-
χημα ἕξει, καὶ οὐκ εἰς ἕτερον :—

τοῦ θεολόγου :—

Β έλτιον καλὸν ὄντα νομίζειν κακόν, εἴπερ κάκιστον δόξαν

ἔχοντα, ἀγαθοῦ· ὡς τάφος πλατὺς ἀνθρώποις φαινόμενος καὶ
ὑπάρχων ὀστέοις σεσηπόσι νεκροῖς, ἔσωθεν ὑπόζων, ἔξω-
θεν δὲ λάμπων ἀσβέστῳ καὶ ζωγραφίαις τερπναῖς· τίς γὰρ
εἰς ἐὰν πίθηκον ἔχῃς ἄμορφον, ὕφεσι χρυσοῖς χρυσίοις
τὸν τράχηλον περικυκλωθέντα· οὐ γὰρ ὁ καλλωπισμὸς ἤλ-
λαξε τὸν γέλωτος ἄξιον καὶ μωρόν· ποία δὲ χάρις ὄνῳ βα-
στάζειν χρυσᾶ τάλαντα· ὁ ὄνος καὶ πολύχρυσος ὑπάρχων, ὁ κα-
θαι οὐδέν. τίς δὲ χάρις ἀπὸ μολύβδου κατεσκευασμένα
ξίφη κρύπτειν ἀργυρᾶς θήκαις, ὅπερ μὲν τοὺς πολεμίους ὠ-
φελεῖ· τοιοῦτος ἐστὶν ἄνθρωπος ὅταν ἔξωθεν ἐπαρθῇ καὶ κοσμεῖ-
ται. τί γὰρ πίθηκι ὄφελος ἐὰν καλεῖται λέων· ἐὰν πίθηκον
τις λέοντα μετασχηματίσας ἐνδύσῃ, ἆρα οὐκ ἂν ἠλιθιώ-
θης θεασάμενος; καὶ ὁ πάντων ἀτιμότατος ὀρνέων κόραξ
καταχρίσας ἑαυτὸν λευκῷ χρώματι οὐ καταγελαστότερος; :—

τοῦ ἁγίου Βασιλείου :—

Τὰ ἐν ᾅδου κακά, οὐ θεὸν ἔχει τὸν αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς. ἀρ-
χὴ καὶ ῥίζα τῆς ἁμαρτίας, τὸ ἐξ ἡμῶν καὶ τὸ αὐτεξούσιον :—

Σολομῶντος, περὶ παρθενίας καὶ σωφροσύνης :—

Κρεῖσσον παρθενία μετὰ ἀρετῆς· ἀθανασία γάρ ἐστι μνήμῃ,
ὅτι καὶ παρὰ θεῷ γινώσκεται καὶ παρὰ ἀνθρώποις, καὶ ἐν τῷ αἰ-
ῶνι στεφανηφοροῦσα πομπεύει, τὸν τῶν ἀμιάντων ἄθλον νι-
κήσασα :—

τοῦ Χρυσοστόμου :—

Οὐδὲν οὕτως ἀνάξιον παρθενίᾳ, ὡς τὸ πλουτεῖν. τὰ μὲν γὰρ τῆς παι-
δοποιίας ὄργανα, τηρεῖν παρθένα. τὴν δὲ γλῶτταν, μὴ τη-
ρεῖν παρθένον. τὴν δὲ ὅρασιν ἢ τὴν ἀκοὴν ἢ τὰς χεῖρας, μὴ

τηρεῖν· ἢ ταύτας τηρεῖν παρθένους, τὴν δὲ καρδίαν μὴ τηρεῖν, ἀλλ' ἐᾶν συγχεῖσθαι τῷ τύφῳ καὶ θυμῷ, δέον πάντα τὰ αἰσθητήρια τηρεῖν καθαρὰ καὶ σωφρονιζόμενα :-

τῆς κλίμακος :-

Ὁ ἄγαμος ἐν τῷ κόσμῳ μόνοις τοῖς πράγμασι δεδεμένος, τῷ ἐν χερσὶ τὰ πλοῖα πεπεδημένῳ ἔοικεν· ὁ δὲ γαμέτης, τῷ ἐν χερσὶ καὶ ποσὶ τοῖς δεσμοῖς πεπεδημένῳ ἔοικεν :-

Κυρίλλου ἱεροσολύμων :-

Ἀκουέτω τὸ τῶν μοναζόντων καὶ παρθένων τάγμα, οἱ τὸν ἰσάγγελον ἐν κόσμῳ κατορθοῦντες· μέγας ὑμῖν ἀπόκειται στέφανος ἀδελφοί, μὴ μικρᾶς ἡδονῆς ἀνταλλάξητε μεγάλην ἀξίαν· ἐν ταῖς ἀγγελικαῖς ἀνεγράφητε βίβλοις διὰ τὴν πρόθεσιν τῆς σωφροσύνης, βλέπετε μὴ πάλιν ἐξαλειφθῆτε διὰ τὴν πορνικὴν κακουργίαν :-

τοῦ ἁγίου βασιλείου :-

Διὰ τοῦτο ὁ φιλάνθρωπος θεὸς κηδόμενος τῆς ἡμῶν σωτηρίας, εἰς δύο διεῖλε βίους τὰ τῶν ἀνθρώπων, συζυγίαν καὶ παρθενίαν, ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸ τῆς παρθενίας ἔπαθλον, ἔλθοι ἐπὶ συνοίκησιν γυναικός· ἐκεῖνο εἰδώς, ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης καὶ ἁγιασμοῦ, ἐκ τῆς πρὸς τοὺς ἐν συζυγίαις καὶ τεκνοτροφίαις ἁγίους ὁμοιώσεως, οἷος ἦν ἐν μέσῳ τῇ παλαιᾷ, ὁ Ἀβραάμ· ὃς τῇ τοῦ θεοῦ προστάξει τὸν μονογενῆ θυσίαν ζῶσαν ἀσυμπαθῶς ἐμεγαλαύχει, καὶ τὰς τῆς σκηνῆς αὐτοῦ θύρας διαπεταζομένας εἶχε πρὸς ὑποδοχὴν τῶν ἐπιξενοῦσθαι μελλόντων ἑτοιμαζόμενος. οὐ γὰρ ᾔκ

σε πωλήσαντα τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ τὰ μείζονα τούτων ἐπεδείξατο Ἰὼβ καὶ οἱ λοιποί· ἐν δὲ τῇ νέᾳ, οἷος ὁ Πέτρος καὶ οἱ λοιποὶ τῶν ἀποστόλων. ἀπαιτηθήσεται γὰρ πᾶς αὐτὸς τοὺς καρποὺς τῆς πρὸς τὸν ἀγάπης τὸν πλησίον, τῶν λοιπῶν πασῶν ἀρετῶν. ἀρκεῖ γὰρ τῷ ἐπὶ γάμον ἐλθόντι ἡ συγγνώμη τῆς ἀκρασίας, τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας τε καὶ συνουσίας. τὰ δὲ λοιπὰ τῶν ἐντολῶν πᾶσιν ὁμοίως νενομοθετημένα, οὐκ ἀκίνδυνον τοῖς παραβαίνουσιν :—

Τοῦ θεολόγου :—

Αἱ ὑπόζυγοι δοῦλαι καὶ θεῷ, προσήλειφθαι γάρ· αἱ παρθένοι, τοῦ παντὸς θεῷ, λέλυσθε γάρ· μὴ γίνεσθε κλέπτειαι δούλης ἡδονῆς, φυγοῦσαι τὴν ἐλευθερίαν ἐκ τοῦ συνοικεῖν οὐκ ἀνδράσι μὲν, ἀνδράσι δ' ὅμως· οὐ δέχομαι καρτερεῖν ἀεὶ τοῖς τῆς ἡδονῆς ὑπομνήμασι, μετὰ καὶ τὴν δι' ἀέρος συνήθειαν :—

Τοῦ Σολομῶντος, περὶ πλουσίων :—

Πλούσιος προστίθησι φίλους πολλούς, τοῦ ἀργυρίου ὑπακούοντα τὰ σύμπαντα :— Τοῦ Σειρὰχ :—

Πλουσίου σφαλέντος, πολλοὶ ἀντιλήπτορες. ἐλάλησεν ἀπόρρητα, καὶ ἐδικαίωσαν αὐτόν· πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου. πλούσιος ἐλάλησε καὶ πάντες ἐσίγησαν, τὸν λόγον αὐτοῦ ὕψωσαν ἕως τῶν νεφελῶν. ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον. ὁ ἀγαπῶν χρυσίον οὐ δικαιωθήσεται :—

Τοῦ ἁγίου Βασιλείου :—

Ὅσον πλεονάζεις τῷ πλούτῳ, τοσοῦτον ἐκλείπεις τῆς ἀγάπης.

ἐὰν ἴδῃς τινὰ τῶν ὑπερπλουτούντων, μὴ μακαρίσῃς αὐτὸν τὴν ζωήν:

Περὶ πλουσίων καὶ πενήτων:

Κραυγῆς πενήτων καὶ πλουσίων εἰσακούσεται κύριος:

Σολομῶντος:

Πενία ἄνδρα ταπεινοῖ. ὁ ἀτιμάζων πένητα, ἁμαρτάνει. ὁ συκοφαντῶν πένητα, ἀτιμάζει τὸν ποιήσαντα αὐτόν. κρεῖσσον πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης. μὴ παρεκτείνου πένης ὤν, πλουσίῳ:

Ἠσαΐου:

Βοσκηθήσονται πτωχοὶ διὰ κυρίου, πένητες δ' ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται. κύριος ἐθεμελίωσε τὴν Σιών, καὶ δι' αὐτῆς σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ αὐτοῦ:

Σιράχ:

Προσευχὴ ταπεινοῦ, νεφέλας διῆλθε, καὶ οὐ μὴ παρακληθῇ ἕως οὗ ἐπιστρέψηται ὁ ὕψιστος. κρεῖσσον βίος πτωχοῦ ὑπὸ σκέπην, ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις οἴκοις:

Τοῦ ἁγίου Βασιλείου:

Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγνωμόνως τὴν πενίαν. πλουτοῦσιν εὐφραίνου ἀεί, ὀκλάζουσι τὰ ἀγαθὰ διαδέχεται. ὢ πηλίκον ἀξίωμα τῆς πενίας. θεοῦ γίνεται προσωπεῖον. κρύπτεται ἐν πενίᾳ ὁ θεός. καὶ πένης μὲν ὁ τὴν χεῖρα προτείνων, θεὸς δ' ὁ δεχόμενος. ξένος καὶ πένης θεοῦ κολλύειον. ὁ δεχόμενος αὐτούς, ταχέως ἀναλάμψει:

Τοῦ ἁγίου Βασιλείου, περὶ παιδείας θεοῦ:

Μάνθανε διὰ τὴν ἐπιστροφὴν καὶ ἀμέλειαν τὰς πληγὰς ἡμῖν ὁ θεὸς

ἐνίησι, οὐκ ἐκτρίψαι ζητῶν, ἀλλ᾽ ἀνορθώσασθαι. μήτε οὖν
ἐν ταῖς εὐθυμίαις ἀποβάλλωμεν τὸν φόβον, μηδὲ ἐν τοῖς
λυπηροῖς τὴν εὐελπιστίαν. μνημονεύωμεν καὶ ἐν εὐδίᾳ τῆς ζάλης, καὶ
ἐν χειμῶνι τοῦ κυβερνήτου. μὴ ταῖς θλίψεσιν ἐκκακήσωμεν,
μηδὲ γενώμεθα κακοὶ δοῦλοι. ἀγαθύνοντι μὲν ἐξομολογού-
μενοι τῷ δεσπότῃ, παιδεύοντι δὲ μὴ προσιέμενοι:

Βασιλείου, ὅτι κακὸν ἡ συνήθεια, καὶ δυσε-
ξάλειπτον χρόνῳ ἐπικρατήσασα:

Οἶδα πολλοὺς ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαν-
τας, καὶ μέχρι πολιᾶς αὐτῆς διὰ τὴν τοῦ κακοῦ συνήθειαν,
ταῖς ἁμαρτίαις ἐναπομείναντας. παλαιωθὲν γὰρ πάθος ψυχῆς,
καὶ κακοῦ μελέτη χρόνῳ βεβαιωθεῖσα, δυσίατόν ἐστι παν-
τελῶς καὶ ἀνίατον, εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους με-
θισταμένου:

Τοῦ νύσσης:

Τὰ γὰρ κάκεια τῶν παθημάτων, ἐπειδὰν ἅπαξ τῆς ψυχῆς κα-
τακρατήσει, τῷ θανάτῳ παύεται μόνῳ:

Τοῦ χρυσοστόμου:

Ψυχὴ εἰς συνήθειαν ἐλθοῦσα τοῦ πολλάκις ἁμαρτάνειν, καὶ
πολλάκις μετανοεῖν, καταφρονοῦσα λοιπὸν τοῦ θεοῦ ἐπὶ τὴν
ἰδίαν ἁμαρτίαν ἐπιστρέφει, ὥσπερ κύων μακελλικὸς τῷ
βρώματι συνηθείας:

Ἰωάννου τοῦ κλίμακος, περὶ ὕπνου:

Ὕπνος ἐστὶ φύσεως ποιὸς σύστασις, εἰκὼν θανάτου, αἰσθή-
σεων ἀργία. εἷς μὲν ὁ ὕπνος, πλείστας δὲ τὰς ὑποθέσεις
ὡς καὶ ἡ ἐπιθυμία ἔχει, λέγω δὴ ἐκ φύσεως, ἐκ βρωμά-

λων, ἐκ δαιμόνων. ἡ σάρξ καὶ ἐξάκεσας καὶ ἐπιτεταμέ-
ἰ. νηστείας, νης ἐξ ἧς ἐξασθενοῦσα ἡ σάρξ, δι' ὕπνου λοιπὸν ἑαυτὴν πα-
ραμυθεῖσθαι βούλεται. ὥσπερ ἡ πολυποσία συνήθεια γίνεται,
οὕτω καὶ ἡ πολυυπνία. χαλεπὸν δὲ συνήθειαν μακρὰν
ἰάσασθαι :- σιράχ :-

Κρεῖσσον ἐργαζόμενος ἐν πᾶσιν, ἢ δοξαζόμενος καὶ ἀπο-
ρῶν ἄρτου :-

ἱππολύτου θήβης :-

Ἰωσὴφ ὁ τῆς παρθένου μνηστὴρ ὁ τέκτων, τέσσαρας υἱοὺς
ἔσχεν καὶ δύο θυγατέρας. ἰάκωβον τὸν ἐπίσκοπον, σίμωνα
καὶ ἰούδαν οὐ τὸν προδότην, καὶ ἰωσῆν. ἔσθηρ καὶ τὴν μάρ-
θαν ἐκ τῆς σαλώμης τῆς αὐτοῦ γυναικός. αὕτη γὰρ ἡ σαλώμη
θυγάτηρ ὑπῆρχεν ἀγγαίου ἀδελφοῦ τοῦ ζαχαρίου τοῦ πατρὸς
ἰωάννου τοῦ βαπτιστοῦ υἱοῦ βαραχίου υἱοῦ ἀβιὰ τοῦ ἱε-
ρέως. καὶ λοιπὸν ἐχήρευσεν ὁ ἰωσήφ. ὡς εἶναι τὴν σαλώ-
μην καὶ τὸν βαπτιστὴν ἰωάννην ἀδελφότεκνα, ἀδελφῶν
ἀρρενικῶν δύο. ὁ γὰρ ἀγγαῖος υἱὸς βαραχίου ἦν θεῖος ἰω-
άννου, ὁμοίως δὲ καὶ ὁ ζαχαρίας υἱὸς καὶ αὐτὸς βαραχίου,
θεῖος δὲ τῆς σαλώμης τῆς γυναικὸς ἰωσὴφ τοῦ τέκτονος. σα-
λώμην δὲ φημὶ οὐ τὴν μαῖαν. καὶ αὕτη δὲ σαλώμη ἡ μαῖα
ἀπὸ βηθλεὲμ ἦν, ἀνεψιὰ καὶ αὐτὴ οὖσα τῆς ἐλισάβετ καὶ μα-
ρίας τῆς θεοτόκου, τουτέστιν ἐξάδελφος ἀπὸ θηλυκῶν ἀδελφῶν
γεννηθεῖσα. ἄκουε γὰρ τοῦ εὐαγγελιστοῦ λουκᾶ λέγοντος. ὅτι
τρεῖς ἀδελφαὶ ἦσαν ἀπὸ βηθλεέμ, θυγατέρες μὲν οὖσαι μα-
τθὰν τοῦ ἱερέως, ἐκ μαρίας τῆς αὐτοῦ γυναικός, ἐπὶ τῆς βασιλ

Κλεοπάτρας, ὀνόματι ἡ πρώτη μαρία, καὶ ὀνόματι ἡ δευτέρα σαλώμη, καὶ ὀνόματι ἡ τρίτη ἄννα. ἔγημε δὲ ἡ πρώτη ἐν βηθλεέμ, καὶ ἔτεκε σαλώμην τὴν μαῖαν. ἔγημε δὲ καὶ ἡ δευτέρα ἐν βηθλεέμ, καὶ ἔτεκε τὴν ἐλισάβετ. ἔγημε δὲ καὶ ἡ τρίτη εἰς τὴν γαλιλαίαν, καὶ ἐγέννησε μαρίαν τὴν θεοτόκον. ὡς εἶναι τὴν σαλώμην καὶ τὴν ἐλισάβετ καὶ τὴν ἁγίαν μαρίαν τὴν θεοτόκον ἀπὸ τριῶν ἀδελφῶν θηλυκῶν, γεννηθείσας ἐξαδέλφους. ἐντεῦθεν οὖν ὁ βαπτιστὴς ἰωάννης καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς ἀνεψιοὶ λέγονται εἶναι :–

Τοῦ χρυσοστόμου, πῶς νοητέον τό, εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, οὕτως δὲ σωθήσεται ὡς διὰ πυρός :–

Τουτέστιν οὐκ οἴσει τοῦ πυρὸς τὴν ῥύμην, ἀλλ' ὥσπερ εἴ τις χρυσᾶ ὅπλα ἔχων διέλθοι ποταμὸν πυρὸς φαιδρότερος γίνεται καὶ διαμένει, εἰ δὲ χόρτον ἔχει συγκατακαίεται, οὕτω καὶ ἐπὶ τῶν ἔργων ἐστί, διὸ καὶ ἔλεγε ζημιωθήσεται. ἰδοὺ μία κόλασις. αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός. ἰδοὺ καὶ δευτέρα κόλασις. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. οὐχὶ καὶ αὐτὸς οὕτως ἀπολεῖται ὡς τὰ ἔργα εἰς τὸ μηδὲν χωρῶν, ἀλλὰ μένει ἐν τῷ πυρί. σωτηρίαν οὖν τὸ πρᾶγμα καλεῖ, τὴν διηνεκῆ ἐπιμονὴν ἐν τῷ πυρί, διὰ τοῦτο φησὶν ὡς διὰ πυρός. καὶ γὰρ καὶ ἡμεῖς λέγειν ἐν τῷ πυρὶ σώζεσθαι περὶ τῶν μὴ κατακαιομένων ῥαδίως καὶ τεφρουμένων :–

Τοῦ ἀποστόλου, περὶ σώματος :–

Συνήδομαι τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς

ος μου τῷ ὄντι ἐν τοῖς μέλεσί μου, καὶ αἰχμαλωτίζοντά με. τα-
λαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ
θανάτου τούτου :-

Γρηγορίου τοῦ θεολόγου :-

Ὦ πῶς συνεζύγην οὐκ οἶδα, καὶ πῶς εἰκών τέ εἰμι θεοῦ, καὶ τῷ πηλῷ συμφύρομαι. ὃ καὶ εὐεκτοῦν πολεμεῖ, καὶ ἀνιᾷ πολεμούμενον. ὃ καὶ ὡς σύνδουλον ἀγαπῶ, καὶ ὡς ἐχθρὸν ἀποστρέφομαι. ὃ καὶ ὡς δεσμὸν φεύγω, καὶ ὡς συγκληρονόμον αἰδοῦμαι. τήξαι φιλονεικῶ καὶ οὐκ ἔχω τινὶ συνεργῷ πρὸς τὰ κάλλιστα χρήσωμαι, ὡς εἰδὼς εἰς ὃ γέγονα. καὶ ὅτι δεῖ με πρὸς θεὸν ἀναβῆναι διὰ τῶν πράξεων, φείδομαι ὡς συνεργοῦ καὶ οὐκ ἔχω πῶς φύγω τὴν ἐπανάστασιν, ἢ πῶς μὴ ἀπὸ θεοῦ πέσω βαρηθεὶς ταῖς πέδαις κατασπώσαις ἢ κατεχούσαις εἰς ἔδαφος. ἐχθρός ἐστιν εὐμενής, καὶ φίλος ἐπίβουλος. ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως. ὃ φοβοῦμαι περιέπω, καὶ ὃ στέργω δέδοικα. πρὶν πολεμῆσαι καταλλάσσομαι, καὶ πρὶν εἰρηνεῦσαι διΐσταμαι. τίς ἡ περὶ ἐμὲ σοφία, καὶ τί τὸ μέγα τοῦτο μυστήριον. ἢ βούλεταί με θεὸς ἡμᾶς ὄντας θεοῦ καὶ ἄνωθεν ῥεύσαντας, ἵνα μὴ διὰ τὴν ἀξίαν ἐπαιρόμενοι καὶ μετεωριζόμενοι καταφρονῶμεν τοῦ κτίσαντος. ἐν τῇ πρὸς τὸ σῶμα πάλῃ καὶ μάχῃ πρὸς αὐτὸν ἀεὶ βλέπειν, καὶ τὴν συνεζευγμένην ἀσθένειαν παιδαγωγίαν εἶναι τοῦ ἀξιώματος, ἵν᾽ εἰδῶμεν οἱ αὐτοὶ μέγιστοί τε ὄντες καὶ ταπεινότατοι, ἐπίγειοι καὶ οὐράνιοι, πρόσκαιροι καὶ ἀθάνατοι, κληρονόμοι φωτὸς καὶ πυρός, εἴτ᾽ οὖν σκό-

τοὺς ὁποτέρως ἀνανεύοντας :-

Ἰωάννου τῆς κλίμακος :-

Ποίῳ τρόπῳ τὸν ἐμὸν φίλον τοῦτον δήσας κατὰ τὴν
ἀκολουθίαν τῶν λοιπῶν δικάσω οὐκ ἐπίσταμαι, πρὶν γὰρ
δήσω λύεται, καὶ πρὶν δικάσω διαλλάσσομαι, καὶ πρὶν κο-
λάσω κατακάμπτομαι· πῶς νικήσω ὃν φύσει ἀγαπᾶν
πέφυκα· πῶς ἐλευθερωθῶ οὗ εἰς αἰῶνα συνδέδεμαι·
πῶς καταργήσω τὸν καὶ συνεγερθησόμενον· πῶς δείξω
ἄφθαρτον τὸ φθαρτὴν εἰληφὸς φύσιν· τί εὔλογον εἴπω τῷ τὰ
εὔλογα κεκτημένῳ· ἂν δήσω νηστείᾳ τοῦτο, κατακρίνας τὸν
πλησίον αὐτῷ πάλιν παραδίδομαι· ἂν τὸ κρίνειν παύσας
τοῦτον νικήσω, ὑψωθεὶς τῇ καρδίᾳ πάλιν αὐτῷ ἐκδίδομαι. τοῦ-
το συνεργός ἐστι καὶ πολέμιος, καὶ βοηθὸς καὶ ἀντίδικος. καὶ
ἀντιλήπτωρ καὶ ἐπίβουλος· θεραπευόμενος πολεμεῖ, καὶ
θλιβόμενος ἀδυνατεῖ· ἀναπαυόμενος ἀτακτεῖ, καὶ σιαινό-
μενος οὐ φέρει· ἂν λυπήσω, ὅλως κινδυνεύω· ἂν πλήξω,
οὐκ ἔχω δι' οὗ τὰς ἀρετὰς κτήσωμαι, τοῦτον καὶ ἀπο-
στρέφομαι καὶ περιπτύσσομαι· τί τὸ περὶ ἐμὲ μυστήριον· τίς
ὁ λόγος τῆς ἐμῆς συγκράσεως· πῶς ἑαυτῷ καὶ ἐχθρὸς καὶ
φίλος καθέστηκα· λέγε μοι σύ, λέγε μοι· ὦ ἡ ἐμὴ σύζυγος.
ὦ ἡ ἐμὴ φύσις· οὐ γὰρ παρ' ἄλλου μαθεῖν περὶ σοῦ δυνήσο-
μαι· πῶς ἐν σοὶ μείνω ἄτρωτος· πῶς δυνηθῶ τὸν φυσικὸν
ἐκφυγεῖν κίνδυνον· ἐπειδὴ λοιπὸν ἐθελήσειν πρὸς σὲ
Χριστῷ συνθέσθαι· πῶς σου τὴν τυραννίδα νικήσω, ἐπειδὴ
βιαστής σου γενέσθαι προῄρημαι. ἡ δὲ πρὸς τὴν ἑαυτῆς ψυχὴν

ἀποκειναμένη ἔλεγεν. οὐ μέντοι μὲν τοι φρᾶττο ὃ καί σου-ἀπήρτισα, ἀλλ' ὃ ἅμα τῇ γνώσει κατέχομεν, ἐγώ σοι ἐμοὶ ἀνάπτησιν πρᾶ ἔχω. τῆς μὲν ἔξωθεν πυρώσεως, τὴν ἐμὴν θεραπείαν καὶ καθολικῆς ἄνεσιν. τῆς δ' ἔσωθεν κινήσεως, ἐκ προλαβούσης ἀνέσεως καὶ γενομένων πράξεων. ἐγὼ συλλαβοῦσα, τίκτω πληρώματα. ἐκεῖνα δ' ἐκτεθέντα, θανατοῦνται τῆς γνώσεως τίκτουσιν. ἂν γνῷς τὴν ἐμὴν συνεργὸν καὶ βαθεῖαν ἀσθένειαν, ἔδησάς μου τὰς χεῖρας. ἂν τὸν λαιμὸν βασανίσῃς, ἔδησάς μου τοὺς πόδας τοῦ μὴ πρὸς τὸ βαδίζειν. ἂν ζεύξῃς τῇ ὑπακοῇ, ἐμοῦ δ' ἀπεζεύξῃς. ἂν δ' ἐκτήσῃ ταπείνωσιν, ἐμοῦ τὴν κεφαλὴν ἀπέκοψας :

Περὶ ἡ ὀφθεῖσα εἰκὼν τῷ Ναβουχοδονόσορ :

Ἡ εἰκὼν ἐκείνη τύπος ἦν τῆς βασιλείας παντὸς τοῦ κόσμου, ἐν οἷς ἐβασίλευσαν τότε Βαβυλώνιοι, ὡς κεφαλὴ χρυσῆ τῆς εἰκόνος ὑπάρχοντες. ἔπειτα Πέρσαι ὡς ἄργυρος. εἶτα Ἕλληνες ἀπ' Ἀλεξάνδρου ὡς χαλκοῦς. μετὰ τούτους Ῥωμαῖοι ὡς σίδηρος, διὰ τὸ εἶναι αὐτοὺς ἰσχυρούς. εἶτα δάκτυλοι ποδῶν, ἵνα δειχθῶσιν αἱ δημοκρατεῖαι αἱ μέλλουσαι γίνεσθαι, διαιρούμεναι εἰς τοὺς δέκα δακτύλους τῆς εἰκόνος, ἐν οἷς ὁ σίδηρος ἀναμεμιγμένος τῷ ὀστράκῳ. μετὰ ταῦτα ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα. τοῦ γὰρ σιδήρου μετὰ τοῦ ὀστράκου μιχθέντος, καὶ ἐπὶ τὰ ἄκρα τῶν δακτύλων χωρήσαντος, τὸ ἀσυμφώνων ἀλλήλοις τῶν αὐτῶν ὄντων, τὸ δὴ λοιπὸν περιμένειν, ἀλλ' ἢ τὸν ἐξ οὐρανοῦ ἐρχόμενον, ἵνα τὰς τοῦ κόσμου βασιλείας μεταστήσει, τὸ ἀναστήσει τὴν

ἐπουράνιον βασιλείαν τὴν αἰώνιον τῶν ἁγίων, ἥτις οὐ δια-
φθαρήσεται :–

Πῶς εἰπὼν ὁ κύριος ἐὰν μὴ ἀπέλθω ὁ παράκλητος οὐκ ἐλεύσεται, ἐρώτ(ησις)
ἤδη τὸ πνεῦμα δίδωσι τοῖς ἀποστόλοις διὰ τοῦ ἐμφυσήματος :–

Διὰ μὲν τοῦ ἐμφυσήματος, ἐξουσίαν καὶ χάριν τινὰ παρέ- ἀπόκρ(ισις)
χει αὐτοῖς πρὸς τὸ ἀφιέναι ἁμαρτίας, ἐπάγει γάρ· ἄν τινων
ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε κε-
κράτηνται. διὰ δὲ τῆς ἐπιφοιτήσεως ἐν τῇ πεντηκοστῇ τὴν
τοῦ βαπτίσματος αὐτοῖς χάριν καὶ τὴν τῶν σημείων ἐνέρ-
γειαν παρέσχεν, διό φησιν· ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν
πνεύματι ἁγίῳ, καὶ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου
πνεύματος ἐφ᾽ ὑμᾶς. πρὸ γὰρ τοῦ πάθους οὐ πνεύματι ἁγίῳ τὰς ἰάσεις
ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τῇ παρὰ τοῦ χριστοῦ ἐξουσίᾳ καὶ προ-
στάξει. οὔπω γὰρ ἦν φησὶ πνεῦμα ἅγιον, ὅτι ἰησοῦς οὐδέπω ἐδοξά-
σθη. δεδόξασται δὲ ἐγηγερμένος ἐκ νεκρῶν :–

Πῶς ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν :– ἐρώτ(ησις)

Ὁ μὲν φιλῶν τὴν ψυχὴν αὐτοῦ ἐστιν, ὁ τὰς ἀτόπους ἐπιθυμίας ἀπόκρ(ισις)
αὐτῆς ποιῶν. ὁ δὲ μισῶν αὐτὴν ἐστιν ὁ μὴ εἴκων αὐτῇ τὰ βλα-
βερὰ κελευούσῃ. ὁ δὲ θέλων αὐτὴν σῶσαι ἐστὶν ὁ τὴν παρὰ
τὸ δέον σωτηρίαν τὴν ἐκ τῶν κινδύνων διαφυγεῖν ἐφιέμενος,
οὗτος ἀπολέσει αὐτήν. ὥσπερ οὖν καὶ τὴν ὑπὲρ αὐτοῦ ἐν
τοῖς κινδύνοις ἀπώλειαν γινομένην σωτηρίαν ὠνόμασεν, οὗ-
τος γάρ φησιν εὑρήσει αὐτὴν εἰς ζωὴν αἰώνιον :–

Ἰσιδώρου πηλουσιώτου, ἐκ τῶν ἐπιστολῶν :–

Εἰ γὰρ τοῖς πλάσμασιν οὐ τὸ εἶδος ζηλοῦται μόνον τοῦ ἀρχε-

ῥήματος, ἀλλὰ καὶ ἡ γνώμη τοῦ ἁμαρτάνοντος καὶ τὸ ἀξίωμα, καὶ ὁ καιρὸς καὶ ὁ τρόπος καὶ ἡ ἕξις. καὶ μετὰ τὴν ἁμαρτίαν, εἰ ἤλγη· εἰ ἐλυπήθη· εἰ ἀναλόγως ἐπενθήθη· εἰ ἐνέμεινεν· εἰ μελετῶν· εἰ ἐκ περιστάσεως· εἰ κατὰ ἀπάτην· εἰ κατὰ μελέτην· εἰ κατὰ ἕξιν κακὴν καὶ συνήθειαν· καὶ πολλὰ ἕτερά εἰσι δι' ὧν ἡ βάσανος αὐτῇ χωρεῖ, καὶ καιροῦ διαφορὰ ἐξετάζεται, καὶ πολιτείας κατάστασις· οὐ γὰρ ὁ πρὸ νόμου καὶ μετὰ νόμον καὶ μετὰ τὴν χάριν τὴν αὐτὴν ἁμαρτίαν ἁμαρτῶν τὴν αὐτὴν δίκην ὑφέξεται, ἀλλ' ὁ μὲν ἡμερωτέραν, ὁ δ' ἀκριβεστέραν, ὁ δ' ἀπαραίτητον. ταῦτα γὰρ πάντα διαρρήδην ἐν ταῖς ἱεραῖς γραφαῖς κεκήρυκται:-

Τοῦ ἁγίου Μαξίμου:-

Ὀκτὼ τρόποι εἰσὶ τῆς ἁμαρτίας. ἄνοια, ὡς ὁ νάθαν· ἀπάτη, ὡς ἡ εὔα· συναρπαγή, ὡς πέτρος ὁ ἀπόστολος· λήθη, ὡς ὁ μωϋσῆς μὴ ἁγιάσας τὸν θεὸν ἐν τῇ πέτρᾳ· τυραννίς, ὡς ὁ δάρειος ἐκδοὺς τὸν δανιήλ· ἀπιστία, ὡς ἡ γυνὴ τοῦ λώτ· καταφρόνησις, ὡς γιεζῆ τοῦ ἐλισσαίου· ἡ πονηρὰ διάθεσις, ὡς οἱ φαρισαῖοι κρύπτοντες τὴν ἀνάστασιν τοῦ κυρίου:-

: ἐπί

Τέλος εἰς τὰ τοῦ ἀθανασίου, καὶ τῶν λοιπῶν.

Ἐκ τοῦ Εὐσεβίου εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων:

Ἆσμα ᾀσμάτων διὰ τοῦτο καλεῖται, ἐπειδὴ τὰ μὲν τὰ ἄλλα ᾄσματα τοῦτο, μετὰ δὲ τοῦτο οὐκέτι ἄλλο προσδοκᾶν ἐστιν. ἄλλο δὲ λέγω οὐ βιβλίον, ἀλλὰ τὸ ἐκ τοῦ βιβλίου σημαινόμενον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. πᾶσα θεία γραφή, περὶ τῆς εἰς ἡμᾶς τοῦ λόγου καθόδου, καὶ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας προφητεύει. τοῦτο γὰρ τὸ βούλημα τοῦ θεοῦ ἐστι τοῖς τε προφήταις, καὶ πάσῃ τῇ θείᾳ γραφῇ. τοῦτο προηγούμενόν ἐστιν ἀπαγγέλλειν. παρακολουθήματα δὲ τῷ θείῳ διηγήματι τοῦτο ποιοῦνται, λόγους περὶ τῶν ἐθνῶν. τῆς Βαβυλῶνος. τῆς Δαμασκοῦ. τῆς Μωάβ. καὶ τῶν ἄλλων. καὶ διὰ πάσης γραφῆς, τοῖς μὲν ἁμαρτάνουσιν ἐπιτιμῶσι, τοὺς δὲ προληφθέντας προτρέποντες μετανοεῖν, ἀπειλοῦντες τὴν μέλλουσαν τοῦ πυρὸς κρίσιν. αἱ μὲν οὖν ἄλλαι γραφαὶ προλέγουσιν. οἷον Μωϋσῆς μέν, προφήτην ὑμῖν ἀναστήσει λέγων κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Ἠσαΐας δέ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν. ὁ δὲ Μιχαίας, ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος τοῦ κυρίου. καὶ ἄλλος ἄλλως προλέγει, κατὰ τὴν τοῦ πνεύματος χάριν. καὶ τούτων λεγόντων, προσεδοκᾶτο ὁ ἐπαγγελλόμενος κύριος. διὰ τοῦτο δὲ καὶ οἱ πολλοὶ ἀπήγγελλον. καὶ ὡς ἦλθεν, ἐπαύσαντο οἱ προφητεύοντες. Καί ἐστι ταῦτα πάντα ᾄσματα, ᾄδοντα περὶ τοῦ ἐρχομένου

σωτῆρος. τὸ δὲ ᾆσμα τῶν ᾀσμάτων, οὐχ ὡς προφητικόν ἐστιν,
οὐδ' ὡς προσημαῖνον, ἀλλ' ὃ οἱ ἄλλοι προαπήγγελον, τοῦ-
τον ὡς ἤδη ἐλθόντα δείκνυσι, καὶ ἤδη λαβόντα τὴν σάρκα
δικαίως, ἐπὶ συζυγίᾳ τοῦ λόγου καὶ τῆς σαρκὸς ἐπιθαλάμι-
ον ᾄδει. καὶ αἱ μὲν ἄλλαι γραφαί, λέγουσι περὶ τοῦ σωτῆρος, με-
ταξὺ καὶ περὶ ἄλλων πολλῶν ἀπαγγέλλουσι. τὸ δὲ βιβλίον
τοῦτο, μόνην τὴν τοῦ λόγου συζυγίαν πρὸς τὸ σῶμα ᾄδει.
καὶ αἱ μὲν ἄλλαι γραφαὶ διὰ τὰ μεταξὺ τελούμενα, εἰσὶ τῆς
ὀργῆς καὶ θυμοῦ λόγοι, καὶ φόβων ἀπειλή. τὸ δὲ βιβλίον τοῦ-
το ἐπειδὴ οὐδὲν ἕτερον, ἢ τὴν παρουσίαν μόνην τοῦ λόγου
σημαίνει, θυμηδίας καὶ χαρᾶς καὶ εὐφροσύνης μόνους
ἔχει λόγους. νυμφίου γὰρ παρόντος, πάντας χαίρειν πρέ-
πει, καὶ μηδένα πενθεῖν, ὡς αὐτὸς ὁ κύριος εἴρηκε. αὐτὸς
γὰρ παρὼν, τὰς ἀσθενείας ἡμῶν ἐβάστασε, καὶ τὰς λύπας
ἐπέστρεψεν εἰς χαράν. ὥσπερ οὖν μετὰ τὴν οἰκονομίαν
τοῦ σωτῆρος οὐκέτι προφήτην προσδοκῶμεν, οὕτω τὰ μετὰ
τὰ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων σημαινόμενα, οὐκ ἔστιν
ἄλλο τι καινότερον συμμελετᾶν, ἢ προσδοκᾶν σημαινό-
μενον. καὶ γὰρ τὰ ἐν τῷ ᾄσματι σημαινόμενα, ταῦτα καὶ
ἐν τοῖς προφήταις καὶ ἐν ταῖς ἄλλαις γραφαῖς ἐκ διαστήμα-
τος λεγόμενα εὑρίσκεται. πάλιν τε ὡς προδεικνύντος
τοῦ Ἰωάννου τὸν ἀμνόν, ὡς Ἰωάννου ὁ νόμος καὶ οἱ προ-
φῆται εἰσίν, οὕτω τὰ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων σημαι-
νόμενα, τέλος ἐστὶ πάντων τῶν ἐν τῇ θείᾳ γραφῇ σημαινο-
μένων. τίνα γὰρ ἄλλον μετὰ τὸν σωτῆρα προσδοκᾶν δεῖ, ἢ ἀνα-

στασιν καὶ κρεῖσσον. διὰ τοῦτο οἱ κατὰ Φρύγας περιττάζουσι(?) τῶν
προφήτας μετὰ τὸν κύριον, σφάλλονται, καὶ αἱρετικοὶ κατεκρίθη-
σαν. ᾆσμα ἀσμάτων οὖν, διὰ τὸ μετὰ τὸ, ἐκ τούτου οὐδὲν ἕτερον
προσδοκᾶται. καὶ ὡς ἐπὶ τῆς κατὰ νόμον ἁγιαστηρίου, καὶ μετὰ τὰ ἅγια,
τὰ ἅγια τῶν ἁγίων, μετὰ δὲ τὰ ἅγια τῶν ἁγίων οὐκέτι ἦν ἕτε-
ρος τόπος, οὕτω μετὰ μὲν τὰ ᾄσματα, τὸ ᾆσμα τῶν ᾀσμάτων,
οὐκέτι δὲ προσδοκᾶν ἐστιν ἑτέραν τινὰ καινοτέραν ἐπαγγε-
λίαν. ἅπαξ γὰρ ὁ λόγος ἐγένετο σάρξ, καὶ τετελείωκε τὸ ἔργον.
Ἔστι δὲ ὅλον τὸ βιβλίον διαλόγων πλῆρες· τούτων τοῦ παλαι-
οῦ λαοῦ πρὸς τὸν λόγον. τοῦ καθόλου τοῦ ἀνθρωπίνου γένους πρὸς
τὸν λόγον. καὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας πρὸς αὐτόν. καὶ τοῦ
λόγου πρὸς αὐτήν. καὶ πάλιν πρὸς τὸ ἀνθρώπινον γένος. εἶτα
τῶν ἐξ ἐθνῶν πρὸς Ἰσραήλ. καὶ τῆς Ἰσραὴλ περὶ τῶν ἐξ ἐθνῶν.
καὶ περὶ ἑαυτῆς διαλόγους. εἶτα καὶ τῶν διακονούντων ἀγγέ-
λων, πρὸς τοὺς κληθέντας ἀνθρώπους εἰς τὸ κήρυγμα. τὸ μὲν
οὖν παλαιοῦ λαοῦ ἀξιοῦντος αὐτὸν κατελθεῖν τὸ ἑνωθῆ-
ναι τῇ σαρκὶ ταῦτα. Φιλησάτω με ἀπὸ φιλημάτων στό-
ματος αὐτοῦ, ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. Καὶ πάλιν
διὰ τούτων προτρέπεται, ἵνα πρὸς παλαιά. ἀδελφιδέ μου
σωτὴρ ἐπιστάσει(?). Καὶ κοινῇ δὲ πάντων πρὸς τὸν λόγον, ἵνα τὸ ἐξ ἡ-
μῶν ἀναλάβῃ σῶμα. Τίς δώῃ σε ἀδελφιδέ μου θηλάζοντα
μαστοὺς μητρός μου. εὑροῦσά σε ἔξω φιλήσω σε. καί γε οὐκ ἐ-
ξουδενώσουσί με. παραλήψομαί σε. εἰσάξω σε εἰς οἶκον
μητρός μου, καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. Οὐ γὰρ ἔξω-
θεν ἀλλ᾽ ἀφ᾽ ἧς ἐγεννήθημεν μητρὸς, ἀναλαβεῖν αὐτὸν ἠξί-

σιν τὸ σῶμα. εἰ καὶ μὴ ὡς ἡμεῖς ἐξ ἀνδρὸς καὶ γυναικός·
ἐκ γὰρ μόνης παρθένου ὡς πλάστης ἑαυτῷ ἔλαβε τὸ σῶμα,
πλὴν ὅτι ἐξ αὐτοῦ. ἄνος γὰρ ἡ θεὸς μαιεία. καὶ τοῦ λόγου δὲ
πρὸς τοὺς ἀξιωθέντας ἀναλαμβάνοντος, ἤδη τὴν σάρκα ἐκ
τῆς παρθένου ταύτην. Εἰσῆλθον εἰς κῆπόν μου ἀδελφή
μου νύμφη· ἐτρύγησα σμύρναν μου μετ' ἀρωμάτων μου.
ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου. ἔπιον οἶνόν μου μετ'
γάλακτός μου. Εἰς γὰρ τὸν ἴδιον κῆπον τὴν κτίσιν εἰσελ-
θὼν, ἔλαβεν ἑαυτῷ ἀπὸ τῆς παρθένου τὸ σῶμα, τὸ γέγονεν
ἄνος. συντεθεὶς μὲν οὖν θεῷ τὸ σῶμα, ἀλλὰ μετ' εὐωδίας. διὸ γὰρ ἢ θῦ πν
παναγίῳ καθ' ὑπόστασιν ἡνώθη λόγῳ. καὶ εἰ γάλα ὡς ἄνος
ἤθελε τὸ σῶμα φαγεῖν, ἀλλ' ἐπλήρου αὐτὸ καὶ ὡς οἶνον,
τῆς ἑαυτοῦ τελειότητος. καὶ γὰρ ὡς πρὶν ἤπιε γάλα, οὕτω τῷ αὐ-
τῷ ἅπαν τὸ ἴδιον ἐνεργάζετο. Εἶτα ὁ λόγος λοιπὸν τὸ σῶμα
λαβὼν, προσκαλεῖται τὸν παλαιὸν λαὸν πρῶτον, ὡς πρῶ-
πιστευθέντα τὰ λόγια διὰ τούτων. Ἀνάστα ἐλθὲ ἡ πλησί-
ον μου. καλή μου περιστερά μου. ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλ-
θεν. ὁ ὑετὸς ἀπῆλθεν. ἐπορεύθη ἑαυτῷ. τὰ ἄνθη ὤφθη ἐν
τῇ γῇ. καιρὸς τῆς τομῆς ἔφθακεν. φωνὴ τοῦ τρυγόνος
ἠκούσθη ἐν τῇ γῇ ἡμῶν. ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐ-
τῆς. αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν. ὡς λαβόντες τοῦ
πρώτου λαοῦ ἕως καιροῦ τὴν σκιὰν τὴν ἐν τῷ νόμῳ δι-
δάσκει, καὶ ὡς εἰδότα τὴν φωνὴν τοῦ τρυγόνος ὑπομι-
μνήσκει. προσκαλεσάμενος δὲ ὁ λόγος τὴν ἰηλ, προσκα-
λεῖται λοιπὸν καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν διὰ τούτων. εἰς γὰρ

ἐστι Χριστὸς καὶ Ἰουδαίων καὶ ἐθνῶν. Δεῦρο ἀπὸ Λιβάνου νύμ-
φη, δεῦρο ἀπὸ Λιβάνου. ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πί-
στεως. ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών. ἀπὸ μανδρῶν
λεόντων. ἀπὸ ὀρέων παρδάλεων. ἀπὸ γὰρ εἰδωλολα-
τρείας καὶ θηριώδους τρόπου προσκαλεῖται αὐτὴν εἰς πί-
στιν. κληθεῖσα τοίνυν ἐξ ἐθνῶν καὶ ἤδη κατανυγεῖσα, λέγει
πρὸς τὸν λόγον ταῦτα. ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή
μου. ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις; ἐν μεσημβρίᾳ, μή-
ποτε γένωμαι ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου.
πεῖραν γὰρ ἔχουσα τῆς εἰς πολλὰ μεταβολῆς, ἠξίου στη-
ριχθῆναι λοιπὸν καὶ βεβαιωθῆναι, μήποτε πάλιν πάθῃ τὸ
αὐτό. παρακληθεὶς ὁ λόγος διδάσκει λοιπὸν αὐτὴν διὰ
τούτων. ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν. ἔξελθε
σὺ ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους
σου ἐπὶ σκηνώμασι τῶν ποιμένων. οὐ δύναται γάρ τις γνῶ-
ναι θεόν, μὴ πρότερον γνοὺς ἑαυτόν. εὐσέβεια γὰρ εἰς θεόν, ἀρχὴ
αἰσθήσεως. αἴσθησις δ' οὐχ ἡ ἔξωθεν, ἀλλ' ἡ ψυχῆς διάνοια
πίστεως. ἡ ἐκκλησία ὁρῶσα τὴν κλῆσιν τῶν ἐθνῶν γινομένην
ἐν ἀκροβυστίᾳ πίστεως, θαυμάζουσα λέγει. τί ὄψεσθαι
λέγει ἐν τῇ Σουμανήτιδι, ἡ ἐρχομένη ὡς χοροὶ παρεμβο-
λῶν. οὐ γὰρ ἐξ ἑνός, ἀλλ' ἐκ παντὸς ἔθνους ἤρχοντο. ἀφέν-
τες τὰς ἰδίας παρεμβολάς, καὶ συντρίψαντες τὰς μαχαί-
ρας, καὶ λοιπὸν εἰρηνικὰ φρονοῦντες. ἡ δὲ ἐξ ἐθνῶν ὁρῶσα
τὴν ἐκκλησίαν ὡς παραμεμφομένην, ἀπολογεῖται περὶ ἑαυτῆς.
ὅτι μὲν ἀρχή ἐστιν αὐτῆς ἡ κλῆσις. μέλαινά εἰμι καὶ καλή

, σκάφος ἐλπίς. ὡς σκηνώματα κυδαρ. ὡς λέοντος ζαλο
, μοῦ. μὴ βλέψητέ με ὅτι εἰμὶ μεμολυσμένη, ὅτι πα
, ρέβλεψέ με ὁ ἥλιος. οἱ υἱοί μου ἐμαχήσαντο ἐν ἐμοί. ἔ
, θεντό με φύλακα εἰς ἀμπελῶνας. ἀμπελῶνα ἐμοῦ οὐκ
ἐφύλαξα. ἐγὼ γάρ φησι μέλαινα εἰμί, ἀλλ' ὑπὸ δὲ ἀῶ δὲ ἡ
λιον εἰμί. καὶ ἐξῆλθον εἰς δὲ οἰκουντὰς μέρεσιν, ὡς πρὸ
ς ἀδελφάς. ἐκείνης γάρ εἰμι τῆς πίστεως, καὶ δι' αὐτὸ
, ἀξιῶ. ἐὰν καταλείψητε εἰς τὸν οἶκον τοῦ οἴνου. ἐξάλε ἐπ' ἐ
μὲ ἀγάπην. σπείσατέ με ἐν μύροις. ὅτι λειτρωμένη ἀγάπης
ἐγώ. μὴ τῇ ἀκροβυστίᾳ πεσόμεθα, ἀλλ' ἐν ἀγάπῃ προσλα-
βοῦμεν ὀνόματι καὶ πράξει. καὶ εἰ λυθήσῃ εἰμὶ ἢ ἀμελισθῆ,
, ἀλλ' οὖν με παλιν, ἵνα ἢ εὐωδιάσω σὲ ἐν ἔργῳ. τέτρωμαι
, γάρ ἢ ἀγάπη. καὶ δι' αὐτὸ ὥρκισα ὑμᾶς θυγατέρες ἰλὴμ,
, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. ἐὰν-
, ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ. ὁρκί
ζω ὑμᾶς ὦ πρᾶς, οὐ κατὰ τὰς δυνάμεων, οὐκ ἔξεστι γάρ,
ἀλλ' ἐν ταῖς δυνάμεσι τοῦ παραδείσου, ἵνα εἰς ἐκεῖνον
βλέποντες ὡς τὸν ἀδὰμ, οὕτως με προσδέξησθε. καὶ γάρ
κἀκεῖ οὐκ ἦν πεῖσμα, ἀρὲ γὲ μετὰ τὸν ἀδὰμ ἀνακαινί
ζει τά. ὁλόγως ὁρῶ τὴν πίστιν τὴν ἐξ ἐθνῶν, ἐ ἀποδεχόμενος
, λέγει. Καλὴ ἡ πλησίον μου ὡς εὐδοκία, ὡς σκηναὶ ὡς ἰλὴμ.
, ναμβὸς ὡς λιβάνου. οὐ γάρ ἄλλως ἦν ὡς ἦν ἰλὴμ δεῖ
εἶναι τοὺς ἀπὸ τῶν ἐθνῶν, ἵνα εἰς λαὸς γένηται. τὸ δὲ μὲ
νειν, ὅ ἐστι μετὰ τοῦ λαοῦ τοῦ νόμου, πιστεύομεν δὲ χῷ. εἷς
γάρ ὁ τοῦ νόμου καὶ τῶν ἐθνῶν. καὶ ὁρᾷ ὡς ἰλὴμ γλυ

† στραφῆτε ἐν μέλοις,

μένος, οὐ γίνεται πλησίον τοῦ λόγου. ἴληφε ὁρῶντα τῶν ἐθνῶν τὴν πίστιν καὶ τὴν τοῦ λόγου θεραπείαν λέγει. Εἰς κῆπον καρύας κατέβην. ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάρρου, εἰ ἤνθησεν ἡ ἄμπελος. εἰ ἤνθησαν αἱ ῥόαι. ἐκεῖ δώσω τοὺς μαστούς μου σοι. οὐκ ἔγνω ἡ ψυχή μου. ἔθετό με ἅρματα ἀμιναδάβ. Εἰς γὰρ κῆπον τῆς καρύας τουτέστιν εἰς τὰς γραφὰς ἐμβυόμενοι, αἵτινες ὡς καρυαί εἰσιν, ἔξωθεν μὲν σκληραί, ἔσωθεν δὲ ὀπτικαί, καὶ εἴσοδον ὁ λέξας ζευχθῆναί με δεῖ, ὡς ἐν ἅρματι τῇ τῶν ἐθνῶν κλήσει. ζευχθέντων τοίνυν ἀμφοτέρων τῶν λαῶν, λοιπὸν πανταχοῦ τὸ κήρυγμα ἀπεστάλη, καὶ τούτου γενομένου τὰ διάκονοι οἱ ἄγγελοι λέγοντες· Ἐξέλθετε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σαλομών, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ. ὁ γὰρ ἐξερχόμενος ἀπὸ τῆς κακίας, ὄψεται καὶ τὴν τοῦ λόγου πρὸς τὸ σῶμα συνάφειαν. ὅτε γὰρ γέγονεν ἡ νύμφευσις τοῦ λόγου πρὸς ἡμᾶς διὰ τῆς τοῦ σώματος προσλήψεως, ὅτε καὶ τὴν τοῦ θανάτου νίκην πεποίηται, διὰ τῆς εὐφροσύνης τὰ πάντα πεπλήρωκε. ταῦτα καὶ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων τὰ τῶν διαλόγων ἐστίν, ἐξ ὧν ἀφορμήν τις λαβών, δύναται ἀπ' αὐτοῦ τοῦ βιβλίου τὰ ὅμοια τοῖς ὁμοίοις συνάπτων κατανοεῖν:

ὦ θυγατέρες Σιών

Ὑπόθεσις εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων Συμμίξης :

Ἀφιερώσας τῷ θεῷ τὸ ἑαυτοῦ φρόνημα, καὶ τὴν ἔννοιαν ἀπαλλάξας τῶν γηΐνων ἐνθυμημάτων, καὶ τῆς σωφροσύνης

ἀρετῇ τὴν ψυχὴν κεκοσμημένος, οὕτως ἐφαπτέσθω τῆς ἁγίας τῶν πνευματικῶν ᾀσμάτων γραφῆς. καὶ αὕτη γὰρ ἡ προγραφὴ τοὺς τοὺς λογισμοὺς ἔχοντας εὐθὺ, σαρκικῶν ἐννοιῶν εὐθὺς ἀπαλλάττει. οὐ γὰρ ἁπλῶς ᾆσμα προγέγραπται, ἀλλ' ᾆσμα ᾀσμάτων. ὥσπερ γὰρ τὸ ἅγιον τῶν ἁγίων ὑπερῆρται τῇ ἁγιότητι, οὕτως ὑπερέχει τὰ θεῖα ᾄσματα. τά τε τοῦ Δαβὶδ καὶ Μωϋσέως καὶ τῶν ἄλλων προφητῶν, ἐν ἐπιθαλαμίου δὲ τρόπῳ τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν, τῆς ἀπίνης ὑφηγεῖται ψυχῆς. διὸ τοῦτ' ἐμφαίνων ὁ Σολομὼν διὰ τῶν γαμηλίων ᾀσμάτων, τήν τε ἄφατον ἐπιθυμίαν τὴν ὀφειλομένην θεῷ. πάσης γὰρ μείζων ὀρέξεως ἡ γαμική. καὶ τὴν εἰς ἄκρον ἀπάθειαν. τοῦτο δὲ καθαρμόζειν τὸ κολλώμενον θεῷ, ὡς τὰς ἐμπαθεῖς ἀφορμὰς ἀπαθείας ὑπόθεσιν τίθεσθαι. τάξις δὲ προσῆλθεν ἡ Σολομωνικὴ παίδευσις. τῇ γὰρ ἔτι νεαζούσῃ ψυχῇ τὰς παροιμίας ἐπέγραψεν ὡς, ὑποτίθεται καὶ κελεύει τῆς σοφίας ἐρᾶν. διὸ υἱέ μου πυκνῶς λέγει. καὶ μανιάκην στέφανον ἀπαγγέλλεται ὡς νέῳ, καὶ τὴν ἀνδρείαν ταύτην γυναῖκα, ἐπὶ τέλους ἐπαινεῖ. εἶτα προκαταρτίσας τῆς παροιμιώδους διδαχῆς, καθαίρει ἐν τῷ Ἐκκλησιαστῇ, πάντα τὰ ῥευστὰ ματαιότητα λέγων, τὸ πρὸς τὰ μένοντα τὴν ψυχὴν πτερῶν. τοῦγοῦν, κεκαθαρμένην αὐτῷ συνάπτει τῷ λόγῳ καὶ οὕτως ἄγει θεῷ διὰ τῶν ᾀσμάτων. θέλει δὲ αὐτὴν, οὔτε φόβῳ κολάσεων, οὔτε μισθαποδοσίᾳ τῶν ἐλπίδων, δουλοπρεπῆ γὰρ ἀμφότερα, ἀλλὰ φίλτρῳ ἀγάπης προστρέχειν θεῷ. διὸ καὶ νύμφην καλεῖ, καὶ ἀπαραλείπτως προστρέχειν φησίν. ἀκεσῶνται

δ᾽ αὐτῆς συνήλικες· πρὸς πλείω πόθον ἐξάπτουσι. καὶ ὁ νυμφίος φίλων χορὸν ἐπαγόμενος, ἀξίων πρώην ἢ περιφιλτῶν. οἳ χαίρουσι τὴν φωνὴν τοῦ νυμφίου ἀκούοντες. διαλογικὸν γὰρ τὸ βιβλίον. ὁ νυμφίος ὁ κύριος. νύμφη δὲ ἡ ἐκκλησία. καὶ Σαλομὼν μὲν ᾄδει τὸν ἐπιθαλάμιον. Ἰωάννης δὲ παρανυμφεύει ὁ φίλος τοῦ νυμφίου. Ἡσαΐας προκαταγράφει λαβὼν τόμον καινόν. κάλαμος δὲ ἡ γλῶσσα τοῦ Δαβίδ. ἄκουε γάρ φησι θύγατερ. δίδωσιν ὁ νυμφίος δούλους. Παῦλος, Τιμόθεος καὶ Σιλουανὸς, δοῦλοι Ἰησοῦ Χριστοῦ. ἡ νύμφη δούλας. ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι. Παῦλος ἐγκωμιάζει. τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος :—

Ἐκ τοῦ Γρηγορίου τοῦ Νύσσης σύντομος ὑπόθεσις :—

Οἱ λευχημονεῖτε τοῖς καθαροῖς καὶ ἀμιάντοις νοήμασιν, ὑμεῖς ἀκούσατε τῶν μυστηρίων τοῦ ᾄσματος τῶν ᾀσμάτων, ὑμεῖς ἐντὸς γενέσθαι τοῦ ἀκηράτου νυμφῶνος. μήτις ἐμπαθῆ καὶ σαρκώδη λογισμὸν ἐπαγόμενος. διὰ γὰρ τῶν ἐνταῦθα γεγραμμένων, νυμφοστολεῖται τρόπον τινὰ ἡ ψυχὴ, πρὸς τὴν ἀσώματόν τε καὶ πνευματικὴν καὶ ἄϋλον τοῦ θεοῦ συζυγίαν. ἐν πολλοῖς δὲ ὁ βασιλεὺς Σαλομὼν, εἰς τύπον τοῦ ἀληθινοῦ βασιλέως παραλαμβάνεται. εἰρηνικὸς γὰρ λέγεται, καὶ ναὸν οἰκοδομεῖ, καὶ σοφίαν ἀμέτρητον ἔχειν. βασιλεύει τε γὰρ τοῦ Ἰσραὴλ, καὶ κρίνει τὸν λαὸν ἐν δικαιοσύνῃ, καὶ ἐκ τοῦ σπέρματός ἐστι τοῦ Δαβίδ. ἀλλὰ καὶ ἡ τῶν αἰθιόπων βασίλισσα πρὸς αὐτὸν φοιτᾷ. ταῦτα μὲν οὖν πάντα τὰ τοιαῦτα, πρὸς αὐτὸν

λέγεται ἢ λυπηκῶς, περὶ διαγγέλλει τοῦ εὐαγγελίου τὴν δύναμιν :

Ῥήσεις κατὰ σάμφορος ἑβραϊκῇ, τῶν ἤδη λύσις γέγραπται περὶ χειρός :

Ἱλήμ, ὅρασις εἰρήνης. ἰηλ, νοῦς ὁρῶν τὸν θεόν. κηδάρ, σκοτασμός. σαλομών, εἰρηνικός. γαδδί, ὀφθαλμὸς πειρατηρίου. βαιθήλ, οἶκος θεοῦ. σιών, σκοπέλου, ἢ ἀκάθου. γαλαάδ, μέτοικος μαρτυρίας, ἢ σκοπευτήριον ὑψηλόν. θαδ, ἱκανὸς χειρί. λίβανος, λευκασμός. σανείρ, ὁδὸς λύχνου. ἑρμών, ἀναθεματισμοῦ. ἀμιναδάβ, λαοῦ εὐδοκία, ἢ λαοῦ δηλουμένου, ἢ ἐσκυλμένου. σουλαμῖτις, εἰρηνεύουσα. ναδάβ, εὐδοκία. ἐσεβών, λογισμοί. δαμασκός, αἷμα τὸ φίλημα. κάρμηλος, ἐπίγνωσις περιτομῆς. βεθαμών, ἔχοντα πλήθη, ἢ καθολικοῦ ὄχλου. θαλπιώθ, ἐπάλξεις, ἢ ὑψηλά :

Ἀρχὴ τοῦ ᾄσματος τῶν ᾀσμάτων :-

Ἆσμα ᾀσμάτων, ὅ ἐστι τοῦ Σαλομῶντος. πηγὴ ζωῆς ἐστιν ὁ νυμφίος βοῶν, εἴ τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω. ἐκ τοῦ στόματος αὐτοῦ, ἀναβρύουσιν οἱ λόγοι τῆς ζωῆς. ὧν σπουδάζει προσεγγίσαι τὸ ἴδιον στόμα ἡ ψυχή, ἑλκύσασα πνεῦμα καὶ τὸν προφήτην. καθαρώτερον γάρ ἐστι ῥύπου παντὸς τοῦ δὲ τὸ θέλημα. διό μοι δοκεῖ τῷ λεπρῷ σήμερον τὸ βιοῦντι ὀνειδιστικῶς προσφέρειν ὅτι, ὅτι θέλημά μοι οὐκ ἔδωκας. ἡ γὰρ ἂν ἐκαθαρίσθης τοῦ πάθους, τῷ στόματι ταῦτα τὴν καθαρότητα :-

Ἄλλως :-

Μὴ διὰ προφητῶν μνηστευέσθω με φησίν, ἀλλὰ δι' ἑαυτοῦ ὁμιλησάτω μοι. ἄλλη ὅ περὶ τὴν σαρκικὴν ἢ πνευματικὴ αἴσθησις, διὸ ὅτε Ἰωάννης φησί· Καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, τὸ ἡ νύμφη θέλει τὸ ποθεῖ :-

Ἆσμα ᾀσμάτων τὸ ἅγιον πνεῦμα
φησίν. πρὸς πάντα εἰρηνεύοντα
ἀπὸ τῶν παθῶν, ᾄδεται
τὸ ᾆσμα τοῦτο.

Ἡ νύμφη :—

Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ :—

α' Ὥσπερ ἐν ταῖς εἰκονογραφίαις, οὐ πρὸς ἑκάστην χροιὰν τῶν βαμμάτων, ἀλλὰ πρὸς τὸ πᾶν σῶμα τοῦ γεγραμμένου γινόμεθα, οὕτω κἀνταῦθα τὰ χρώματα μὲν νομιστέον, στόμα καὶ φίλημα καὶ μῦρον· σῶμα δὲ περιεκτικόν, μακαριότητά τε καὶ ἀπάθειαν, καὶ τὴν πρὸς τὸ θεῖον συνάφειαν :—

Ἄλλως :—

Τῶν ἐνδοφόρων προφητῶν ἀγγελλόντων τῇ νύμφῃ ἀμνηστείαν κακῶν, ἁμαρτίας ἀναίρεσιν· μεταστοιχείωσιν φύσεως. παράδεισον τρυφῆς τὴν ἄνω βασιλείαν. ἐξαφθεὶς τῇ χαρᾷ, καὶ ἐπισπεύδει τὴν ὁδόν, τὸ πρὸς τὴν ἀνάπαυσιν ἐπείγεται. οὕτω γὰρ καὶ Μωσῆς πολλάκις τούτου τοῦ φιλήματος ἀξιωθεὶς, καὶ στόμα πρὸς στόμα πληροφορηθεὶς θεῷ, ὡς μὴ ἑωρακὼς αὐτὸν ἔλεγεν· ἐμφάνισόν μοι σεαυτόν. ὡς τῶν προφητῶν λεγόντων· ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου. τὸ ἄλλο· ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί :—

Ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον :—

β' Τὸ νηπιῶδες δίδαγμα θεοῦ, ὑπὲρ τὸ εὔτονον καὶ θερμότατον τοῦ κόσμου φρόνημα :—

Φίλωνος :—

Οἱ μαστοί, αἱ δύο διαθῆκαι, αἱ ὑπὲρ τὸν ἐπίγειον λόγον :—

Καὶ ὀσμὴ μύρων σου, ὑπὲρ πάντα τὰ ἀρώματα: γ'.

Ὀσμὴ μύρων σου, τῆς βασιλείας σου καὶ τῆς ἀρχιερατείας. μύρῳ γὰρ οἱ βασιλεῖς ἐχρίοντο. ἡ σὴ οὖν βασιλεία καὶ ἡ ἱερατεία, ὑπερῆρε τὰ ἐπὶ γῆς:

Γρηγορίου νύσσης:

Ἤτοι αἱ ἀρεταί σου ὑπὲρ τὰς παρ' ἡμῖν ἀρετάς, κατὰ τὸ ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ. ὁ μὲν γὰρ αὐτόθεια τυχὸν τε δὴ κηροσιὼν τυγχάνει. ἡμεῖς δὲ τοῖς τούτοις προσχωννύμενοι κατὰ τὴν ἑαυτοῦ δύναμιν τε καὶ προαίρεσιν ἕκαστος, ἄλλος ἄλλως ἐν εὐωδίᾳ γινόμεθα:

Μύρον ἐκκενωθὲν ὄνομά σου: δ'.

Ἢ ὅτι ἐκβὰς εὐωδίασε τὴν γῆν, ἢ ὅτι οὐκ ἔστι σημασία περιληφθῆναι τὴν ἀόριστον φύσιν. ἔλαιον ἐπιχεόμενον ὄνομά σου:

Διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε. εἵλκυσάν σε. ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν: ε'.

Τίς γὰρ τοιούτου κάλλους ἀνέραστος γένηται, εἰ μόνον ὀφθαλμὸν τὸν ἐνατενίσαι τῇ ὡραιότητι δυνάμενον. νεάνιδες οὖν αἱ ἡβῶσαι ψυχαί, τὸ μὴ τὴν νηπιώδη ἄνοιαν μήτε ῥυτίδα ἔχουσαι:

Εἵλκυσάν σε εἰς ἀγάπησιν: ς'.

Φησὶν ἡ θεία, ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ:

Εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ: ζ'.

Οἱ μὲν ἔτι νηπιάζουσαι, προστρέχουσι τῇ εὐωδίᾳ. ἡ δὲ προ

κατὰ τὸ θέλημα, εἰς τὰ ἄδυτα ὡς ὁ παῦλος εἰσάγει. τοὺς συγκληρονόμους γὰρ εἰς τὴν βασιλείαν εἰσάγει, εἰς τοὺς ἔνδον μυχούς:

Αἱ νεάνιδες:

ἡ. Ἀγαλλιασόμεθα καὶ εὐφρανθῶμεν ἐν σοί:

Ἀλλὰ καὶ ἡμῖν μετάδος τῆς ἐπιγνώσεως, διὰ ὅπερ ἀναπαυόμενος ἐπὶ στήθει χυ, καὶ θεληθεὶς ἐπ' αὐτοῦ, μεταδέδωκε τῆς θεολογίας ἡμῖν:

ἡ. Ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον. εὐθύτης ἠγάπησέ σε:

Ἵνα σου φησὶ τὰ διδάγματα ἀγαπήσωμεν, ἐπειδὴ ἡ εὐθύτης, τουτέστιν ὁ χς ἠγάπησέ σε, ὡς πᾶν τὸ σκολιὸν εἰς τὸ εὐθὲς ἀπορθοῦντα. μαστούς σου ὑπὲρ οἶνον. ὡς σοῦ τοὺς λόγους, ἀληθινὴ ἡ σοφία σου:

ἡ. Μέλαινα εἰμὶ καὶ καλὴ θυγατέρες ἱλημ. ὡς σκηνώματα κηδάρ. ὡς δέρρεις σαλομών:

Μὴ θαυμάζετε φησὶν ὅτι ἠγάπησέ με ἡ εὐθύτης, ἀλλ' ὅτι καὶ τῆς ἁμαρτίας μέλαιναν οὖσαν, λαμπρὰν ἀπέδειξε. τὸ ὑμᾶς εἶναι ὦ θυγατέρες ἱλημ, καὶ σκηνώματα τοῦ κηδὰρ ἦτε, διὰ τὸ ἐνοικῆσαι πρώην ἐν ὑμῖν σκότος. τοῦτο γὰρ ἡ τοῦ κηδὰρ γλώσσης διερμηνεύεται, αἱ δέρρεις τοῦ σαλομὼν γίνεσθαι τῆς ἀναβάσεως, τουτέστι ναὸς τοῦ εἰρηνικοῦ βασιλέως, καὶ φωτὸς οἰκητήριον. ὦ μαθητευόμεναι τῇ ψυχῇ. ἱλημ γὰρ ὅρασις εἰρήνης:

Μὴ βλέψητέ με ὅτι ἐγώ εἰμι μεμελανωμένη, ιαʹ
ὅτι παρέβλεψέ με ὁ ἥλιος :

Καθηγ. ψελ. ὁ φρύξε. μὴ νομίσητε ὅτι μέλαινα ἐκτίσθην, ἀλλ' ὅτι πειρασμοὶ ἐμελάνωσάν με· εὐειδὴς μὲν γὰρ ἐπὶ ψεκτὸν ἥλιον· ὡς ἐπιβλέψας μοι ὁ ἥλιος συνέκαυσε :

Υἱοὶ μητρός μου ἐμαχέσαντο ἐν ἐμοί· ἔθεντό ιβʹ
με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπε-
λῶνα ἐμὸν οὐκ ἐφύλαξα :

Υἱοὺς μητρὸς λέγει, τοὺς νοητοὺς ἐχθρούς· λογικοὺς δ' ὁμοίως, καὶ ἐκ μιᾶς ἅπαντες αἰτίας, τῆς θείας φύσεως· οἱ νοητοὶ οὖν ἐχθροί, ἐκβάλλοντές με τοῦ καλοῦ ἀμπελῶνος, ὅ ἐστι τοῦ παραδείσου· ἔθεντό με φυλάττειν τοὺς ἑαυτῶν ἀμπελῶνας, ἐν οἷς βότρυς πικρίας, καὶ σταφυλὴ χολῆς, ὁ θυμὸς δρακόντων γεωργεῖται. ἐν ἀμπελῶσι δ' εἶπε, διὰ τὸ πολυσχιδὲς τῆς κακίας. εἶτα ἐπειδὴ ἐμνήσθη τοῦ παλαιοῦ πτώματος, καταλιποῦσα τὸν πρὸς τὰς νεάνιδας λόγον, δι' εὐχῆς πάλιν ἀνακαλεῖται τὸν νυμφίον :

Φίλωνος :

Υἱοὶ μητρὸς οἱ ἀπόστολοι· κατὰ τό, οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσι, φησὶ τῆς πίστεως πολυβότρυι καρπῷ· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα, ὁ Ἰουδαίων λαὸς τοῦτο μετανοῶν φησίν :

Ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου· ιγʹ
ποῦ ποιμαίνεις· ποῦ κοιτάζεις· ἐν με-
σημβρίᾳ, μήποτε γένωμαι ὡς περιβαλλο

μένη ἐπ' ἀγέλαις ἑταίρων σου :-

Τὸ γὰρ ὄνομά σου ἀγνοοῦσα, ἐκ τῆς ἀγάπης σε καλῶ ἧς ἠγάπησάς με. πῶς γάρ σε μὴ ἀγαπήσω, τὸν οὕτω με ἀγαπήσαντα. διάδειξον οὖν με φησί ποῦ ποιμαίνεις, ἵνα εὑροῦσα τὴν σωτήριον νομήν, ἐμφορηθῶ τῆς οὐρανίου τροφῆς. ἧς ὁ μὴ φαγών, οὐ δύναται εἰς τὴν ζωὴν εἰσελθεῖν. ἐὰν γὰρ ἐν ταύτῃ με ποιμάνῃς, κοιτάσῃς με πάντως ἐν μεσημβρίᾳ, ἀντὶ τοῦ ἀναπαύσῃς ἐν τῷ ἀσκίῳ φωτὶ τῆς ἀναστάσεως. γνῶ εἰδυῖα μὲν τίνι ὡς πῶς δεῖ ποιμαίνεσθαι καὶ κοιτάζεσθαι, τίς ἡ ὁδὸς τῆς μεσημβρινῆς ἀναπαύσεως, μήποτέ με τῆς ἀγαθῆς ἐμπεσεῖν γνωμάρας ἀποσφαλεῖσαν τῆς ἀλλοτρίας τῶν τῶν ποιμνίων ἀγέλαις ἡ τῆς ἀληθείας ἄγνοια συνελάσῃ. ταῦτα ὁ εἶπε περὶ τοῦ γενομένου κάλλους αὐτῇ, ἀγωνιῶσα ὅπως ἂν εἰς τὸ διηνεκὲς αὐτῇ παραμένοι ἡ εὐμορφία, μαθεῖν ἀξιοῦσα. τέως οὖν ἀναβάλλεται τὴν ἀπόκρισιν ὁ νυμφίος, ἐξ ἁπλῶν τῶν πόθων. ἀποκρίνονται δὲ οἱ φίλοι. πρὸς ἣν καλῶς σε ὁ λόγος ἐμφανίζων σεαυτόν. τὸ μεσημβρινὸν δὲ τῆς πόλεως τῆς ἑαυτῆς ἐδήλωσεν εἰποῦσα, ποῦ ποιμαίνεις; ποῦ κοιτάζεις; ἐν μεσημβρίᾳ. κατὰ τὴν τοῦ πάθους ὥραν. ὅτε ἀπὸ ὥρας ἕκτης, ἕως ὥρας ἐνάτης, σκότος ἐγένετο. ἐν ᾗ καὶ ἡ ἀκμὴ τοῦ καύσωνος τῶν πειρασμῶν. ποῦ οὖν κρύπτει πλάζει φησί, τοὺς σοὺς ἑταίρας πειράζεσθαι :-

ιδ. Ἐπ' ἀγέλαις ἑταίρων σου ὡς ῥεμβομένην.
Ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν,
ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων, καὶ

ποίμαινε τὰς ἐρίφους σου ἐπὶ σκηνώ-
μασι τῶν ποιμένων σου :-

Ἀσφαλέστατόν ἐστι φυλακτήριον, τὸ ἑαυτὸν μὴ ἀγνοῆσαι. ὁ γὰρ ἑαυτὸν ἐπιγνοὺς, τὸ ἑαυτοῦ διαγινόμενος, οὐ τῶν περὶ ἑαυτὸν οὐχ ἁμαρτήσεται, οὐδὲ τοῖς τῶν προσοδευόντων πεπλανημένοις ἴχνεσιν ἀκολουθήσας ἀγνοίᾳ τῆς ἀληθείας, αὐτὸς ἐκ προβάτου λήσει μεταβαλὼν εἰς ἔριφον. οὐκοῦν τοῦτο τῶν συμβουλευομένων ἐστὶν ἀκούειν τῶν φίλων τοῦ νυμφίου, ὅτι σὺ ὦ ψυχὴ ἐκ μελαίνης γενομένη καλή, εἴ σοι μέλει τὸ σὺν διαιωνίζειν σοι τῆς εὐμορφίας τὴν χάριν. μὴ τοῖς ἴχνεσιν ἐπιπλανῶ τῶν προσοδευκότων, μήποτε προστεθῇς τῇ τῶν ἐρίφων ἀγέλῃ, ὧν ἡ στάσις ἐπὶ τὸ σκαιὸν ἀπεώσθη. νοεῖς δὲ πάντως τὸν λόγον ἐκ τῆς τοῦ εὐαγγελίου φωνῆς; τοῦτο δὲ τὸ νόημα καὶ δι' ἑτέρου ἀντιγράφου σαφέστερόν ἐστι κατανοῆσαι, ὡς μηδὲ τὴν σύνταξιν τῶν ῥημάτων δοκεῖν ἀσυναρτήτως ἔχειν. φησὶ γάρ· ἐὰν μὴ γνῷς σεαυτήν, ἡ καλὴ ἐν γυναιξίν, ἔξελθε ἐκ τῶν πτερνῶν τοῦ νυμφίου, καὶ ποιμανεῖς ἐρίφους ἀντὶ σκηνωμάτων ποιμνίων. τὸ οὖν ἔξελθε, ἀντὶ τοῦ ἐξελεύσῃ. καλὴ δ' ἡ πρὸς ἅπαντας φυλακὴ τῆς νύμφης :-

Φίλωνος :-

Ὡς ἀπὸ τοῦ νυμφίου καλὴν ἐν γυναιξὶ λέγει, ἐπειδὴ ἐν πάσαις ταῖς συναγωγαῖς αὕτη μόνη καλή. ἐὰν οὖν φησι μὴ γνῷς ποῦ ἦς καὶ ποῦ εἶ, ἐὰν μὴ γνῷς τὸ κάλλος ὃ παρ' ἐμοῦ αὐτὸ κέκτησαι, ἔξελθε ἐν πτέρναις τῶν ποιμνίων, καὶ ποίμαινε τὰς ἐρίφους σου. ἀπειλητικὸς ὁ λόγος. εἰ γὰρ ἀναξίαν

ἑα

σεαυτὴν φησὶ καθίσης τῆς ἐμῆς δόξης, ποίμαινε τὰς ἐρί-
φους σου, τουτέστι τὰς τῶν ἁμαρτωλῶν ψυχάς, ἐν τοῖς σκηνώ-
μασι τῶν τοῦ ἰηλ βασιλέων :-

Ἀθανασίου :-

Αὐτὸς πρὸς αὐτήν· γνῶθι σεαυτὴν πρῶτον, ἵνα καὶ ἐμὲ γνῶναι δυνηθῇς· ἐὰν μὴ γνῷς σεαυτήν, εἰ οὐκ ἔγνως, εἰ μὴ οἶδας, ἔξελθε σὺ ἐν πτέρναις καὶ ἴχνη, καὶ ποίμαινε τὰς ἐρίφους σου, καὶ θρέψῃς ἁμαρτίας ἀντὶ ἀρετῶν ἐπὶ σκηνώμασι τῶν ποιμένων, ἐν ταῖς ἐπιθυμίαις τῶν ἐναντίων δυνάμεων τῶν ποιμαινουσῶν σε :-

ιε' Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοί-
ωσά σε ἡ πλησίον μου :-

Ἵππος τῶν ἀντιτασσομένη τοῖς ἅρμασι Φαραώ, δύναμις τις ἀγγελικὴ καὶ ἀόρατος, καταποντίζουσα τὸν αἰγύπτιον. ταύτῃ τροπικῶς ἀπεικάζεται ἡ κεκαθαρμένη τῷ λουτρῷ ψυχή, πᾶν αἰγυπτιάζον νόημα, καὶ πᾶσαν ἄλλην ἀλλόφυλον κακίαν τοῖς ὕδασι καταποντίζουσα, ἤτοι σὲ τὴν ποτὲ ἐν ἅρμασι Φαραώ, ἀντὶ τοῦ, τὴν ὑποζευγμένην τῷ πονηρῷ, νῦν τῷ ἵππῳ μου ὡμοίωσα :-

ις' Ὡμοίωσά σε ἡ πλησίον μου, ἡ ἑταίρα μου.
τί ὡραιώθησαν σιαγόνες σου, ὡς τρυγόνος :-

Ἀλλ' οὐχ ὡς ἵππου, δεόμεναι κημοῦ καὶ χαλινοῦ πρὸς ἀγχόνην, ἀλλὰ σωφροσύνῃ καλλωπιζόμεναι· ἐμπρέπει οὖν σοι φησὶν ἡ καθαρὰ ζωή, ὡς πρὸς τὸ ἀκόλαστον τῆς ἵππου τὸ σῶφρον τῆς τρυγόνος προείληπται :-

Τράχηλός σου ὡς ὁρμίσκοι :– ιζ'

Κυκλωτῆρες ὡς ἵππου καὶ ἐπὶ καμπῆς, ἀνέχων μὲν τῆς,
καταινοῦσι δὲ βαπτιζόμενα τὸ ἐπιπληθυντικόν, διὰ τὸ πολὺ τῶν
ἀρετῶν μονονουχὶ λέγων. ὁ τράχηλός σου οὐχ ὁρμίσκοις περί-
κειται, ἀλλ' αὐτὸς ὁρμίσκος ἐστί, κόσμος ὤν, ἄλλου κόσμι-
ον περικείμενος. τράχηλος δὲ νοεῖται τὸ ὑποτακτικὸν τῆς ψυχῆς :–

Ὁμοιώματα χρυσίου ποιήσομέν σοι, μετὰ στι- ιη'
γμάτων τοῦ ἀργυρίου, ἕως οὗ ἔλθῃ ὁ βασιλεὺς
ἐν ἀνακλίσει αὐτοῦ :–

Ποιήσομέν σοι φησὶν ἀφάλαρα χρυσᾶ πάσα, τὰ τοῦ ἵππου
τὴν μορφὴν ὡραΐζοντα, τὰς περὶ σοῦ δόξας. χρυσίον γὰρ ὁ θεός, ἄρ-
γυρος δὲ ὁ περὶ αὐτοῦ λόγος :–

Φίλωνος :–

Ὁμοιώματα χρυσίου, οἱ ὁμοίως χρυσίῳ ἐν πυρὶ δοκιμα-
σθέντες μάρτυρες. οἳ καὶ φέρουσι τὰ στίγματα τοῦ Χριστοῦ ἐπὶ
τοῦ σώματος αὐτῶν, οὐ μόνον ἐν καιρῷ διωγμοῦ, ἀλλὰ καὶ
ἐν καιρῷ εἰρήνης, διὰ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν
τρέχειν, ἕως ὅτε ὁ βασιλεὺς μέλλει ἔρχεσθαι ἐν τῇ παλιγγε-
νεσίᾳ. ὁμοιώματα χρυσίου ποιήσομέν σοι, τουτέστιν ἰνδάλ-
ματα τῆς θείας. ἀκαταλήπτου γὰρ τὸ θεῖον. περιβλήματα χρυ-
σᾶ, μετὰ στιγμάτων τοῦ ἀργυρίου. μετὰ ποικιλμάτων. ἐν ἀσωμά-
των ἀργυροειδῶν. ἐν κάλλεσιν ἀργυρικῆς :–

Ἡ νύμφη πρὸς τοὺς φίλους :–

Νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ :– ιθ'

Ἡ ἐκ τῶν ποικίλων ἀνθέων τῆς ἀρετῆς συναγομένη εὐπνοια, ἐμ-

ποιεῖ τῇ ψυχῇ τοῦ νυμφίου τὴν αἴσθησιν, ἐν ἑαυτῇ γὰρ ὀσφραίνεται τῆς τοῦ Χριστοῦ εὐωδίας. ἢ ὅτι ἡ ἑαυτοῦ ἐρωτικὴ εὐωδία καὶ τὸ πάθος ἐφ' ᾧ καὶ τὸ ἀλάβαστρον τοῦ μύρου, δέδωκε πανταχοῦ τὴν ὀσμήν :–

κ'. Ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοί, ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται :–

Ὁ εὐωδιάζων τὴν ψυχὴν λόγος, ἐγκάρδιός μοι κείσεται, ζωπυρῶν τὸ πᾶν τοῦ σώματος. ὄνομα δὲ τῷ κυρίῳ ἡ φιλανθρωπία πεποίηκεν, ἀδελφὸς γὰρ ἡμῶν ἐχρημάτισεν, ἣν καὶ ἡ ἐξ ἐθνῶν ἀδελφιδοῦν καλεῖ. ἔγγονον τῆς ἀδελφῆς, ὅ ἐστι τῆς ἰουδαίων συναγωγῆς :–

Φίλωνος :–

Ἀπόδεσμος τῆς στακτῆς, τὸ ἀποστάξαν τῆς πλευρᾶς τοῦ Χριστοῦ αἷμα καὶ ὕδωρ καὶ πνεῦμα. ἀνὰ μέσον δὲ τῶν μαστῶν, τουτέστι τῶν δύο διαθηκῶν κεῖται τὸ τοῦ Χριστοῦ μυστήριον :–

κα'. Ἀπόδεσμος τῆς στακτῆς σμύρνης. βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοί :–

Τέως μὲν κυπρίζων βότρυς, καὶ τὴν εὐωδίαν προβαλλόμενος. ἐκθλιβόμενος δὲ οἶνος, εἰς εὐφροσύνην ἐμοί :–

κβ'. Ἐν ἀμπελῶσιν Ἐνγαδδί :–

Ἀμπελοφόρος ὁ κλῆρος τοῦ Γαδδί, ἑρμηνεύεται δὲ ἐπίθυμα, ἐπεθύμουν δὲ τὰ ἔθνη :–

κγ'. Ἰδοὺ καλὴ εἶ ἡ πλησίον μου. ἰδοὺ εἶ καλή :–

Ἐπειδὴ πλησίον μου γέγονας, καλὴ εἶ. δὶς δὲ εἶπε καλή, ἵνα

εἴπῃ ἔσωθεν καὶ ἔξωθεν, ἐν πράξει καὶ θεωρίᾳ :-

Ὀφθαλμοί σου ὡς περιστερῶν :- κγ'

Οἷα πρὸς τὴν ποιμενικὴν ἀτενίζοντες ζωήν· τοῖς γὰρ ἐπὶ τὴν δεύτερα σιν ὁμοιοῦται ἡ ψυχή, τῇ πρὸς ἀπρακτεῖν λυποῦται, τῇ κατ' αὐτὰ σχηματίζεται· ὀφθαλμοὶ δὲ καὶ οἱ ἄκακοι καὶ ὀξυδορκεῖς τῆς ἐκκλησίας διδάσκαλοι :-

Ἰδοὺ εἶ καλὸς ἀδελφιδός μου καί γε ὡραῖος, πρὸς κλίνῃ ἡμῶν σύσκιος :- κδ'

Ὅτε ἔσχε καλοὺς ὀφθαλμούς, τότε εἶδε τὸν νυμφίον τὸν καλλος, καὶ φησίν· ἡ πρὸς τὴν ἀνθρωπότητα ἐπανάπαυσις, συνεσκίασε τῇ σαρκὶ τὴν θεότητα· εἰς γὰρ ἂν ὑπέστη τὴν ἐμφάνειαν· κλίνην δὲ ὀνομάζει ὡς νυμφίου, τῇ τροπικῇ σημασίᾳ, τὴν πρὸς τὸ θεῖον ἀνάκρασιν τῆς ἀνθρωπίνης οὐσίας ἑρμηνεύουσα :-

Φίλωνος :-

Καλὸς ἐν νόμῳ, ὡραῖος ἐν εὐαγγελίοις· καλὸς ἐν προφήταις, ὡραῖος ἐν ἀποστόλοις· καλὸς ἐν τοῖς ἀγαθοῖς τοῦ παρόντος αἰῶνος, ὡραῖος ἐν τοῖς μέλλουσι· πρὸς κλίνῃ δὲ ἡμῶν σύσκιος· σὺ γὰρ ἡμᾶς καὶ ἐν θανάτῳ σκέπεις· ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ :-

Δοκοὶ οἴκων ἡμῶν κέδροι· φατνώματα ἡμῶν κυπάρισσοι :- κε'

Δοκοὶ οἴκων ἡμῶν κέδροι, αἱ ἀπείργουσαι τὴν ἐπομβρείαν τῶν πειρασμῶν ἀρεταί· ἄσηπτος γὰρ ἡ κέδρος· φατνώματα δὲ κυπάρισσοι, ἡ εὐωδία τῶν κατορθωμάτων διαφα'

νεια. τοῦτο οὖν οἶμαι διὰ τῶν κατορθωμάτων λεγομένων ἡμᾶς παιδεύεσθαι, μὴ μόνον ἐν τῇ ψυχῇ τὰς ἀρετὰς ἐνέχειν κατορθοῦν διὰ τὸ ἄδηλον, ἀλλὰ μηδὲ τὸ κατὰ τὸ φαινόμενον εὐσχημοσύνης ἀμελῶς ἔχειν, ἐφ' ᾧ τοὺς ὁρῶντας ὠφελεῖν. αἱ γὰρ δοκοὶ τοῖς φατνώμασι, καλύπτουσι τά τε ἔξω ἑαυτῶν:—

Φίλωνος:—

Δοκοὶ οἱ προφῆται. φατνώματα οἱ περιλάμποντες ἀπόστολοι. φατνώματά ἐστιν, εὔρυθμός τις καὶ γλαφυρώδης τῶν ξύλων πῆξις, τὸ δὲ ὀροφῆς κάλλος διαποικίλουσα:—

κζ. Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων:—

Ἐγώ φησι μετὰ τὸ γενέσθαι ἐν τῇ κλίνῃ τὸν νυμφίον, ὃς ᾠκοδόμησεν ἑαυτῷ τὸν οἶκον ἐμέ, γέγονα ἐκ τοῦ πεδίου ἄνθος, ὅ ἐστιν ἐκ τῆς πλατείας ἡμῶν φύσεως καὶ γεννητικῆς, ἤτοι δεκτικῆς πάντων τῶν πραγμάτων. ὄνομα δὲ τῷ ἄνθει, κρίνον, ᾧ ἡ φυσικὴ ἐνθεωρουμένη λαμπρότης, τήν τε εὐφροσύνης μαρμαρυγὴν ὑπαινίσσεται. τὸ δὲ πεδίον τοῦτο συγκρίσει τοῦ ὑπτίου ἀψῖδος, κοιλὰς ὀνομάζεται:—

Φίλωνος:—

Ἀκούσατε παρὰ Ἠσαΐου, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον. καὶ παρὰ τοῦ κυρίου, καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ:—

Ἄλλως ὡς ἀπὸ τοῦ νυμφίου:—

Γέγονα φησὶν ἐπὶ γῆς, ἵνα ἀνθήσωσιν οἱ πιστοὶ καὶ ἐν τῷ ᾅδῃ.

τοῦτο γὰρ αἱ κοιλάδες· κεῖνον, ὅ ἐστι νεκρός· κείνῳ τῶν κοιλάδων, τῶν ἐν ᾅδου τόπων ἢ ψυχῶν· κεῖνον ἡ σώφρων καὶ καθαρὰ ψυχή:

Ὡς κεῖνον ἐν μέσῳ τῶν ἀκανθῶν· ὡς κάλυξ· ὡς ῥόδον· ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν: κη'

Δρυμὸν ὀνομάζει συνήθως ἡ θεία γραφή, τὸν ὑλώδη τῶν ἀνθρώπων βίον, ἐν ᾧ τὰ φθαρτικὰ θεῖα φυλλεύει καὶ κατακρύπτεται· ἣν ἐξ οὗ τελειουμένη ψυχή, κεῖνον γινώσκεται, ἑαυτὴν μόνον εὐωδιάζουσα, τὸν δὲ γεωργὸν οὐ τρέφουσα, ὅτε τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχει. ὁ δὲ κύριος, ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ γέγονεν, ὅτε τὴν ἀνθρωπείαν φύσιν ἐνεκέντρισε πρὸς τὸ ὡραῖον τε καὶ εὐῶδες καὶ βρώσιμον. ἡμεῖς γὰρ τῶν ἐκείνου δεόμεθα. ἔχει γὰρ καὶ τὸ μῆλον βρῶσιν καὶ πόσιν καὶ εὐωδίαν, ὅ ἐστι σῶμα καὶ αἷμα καὶ πνεῦμα. οὕτως ἀδελφιδός μου ἀναμέσον τῶν υἱῶν τῶν ἰουδαίων, κατὰ τὸ, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν:

Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα· καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου: κθ'

Τῆς γὰρ ἐπιθυμίας ἀπούσης, οὐ πρὶν ἐπὶ τὴν σκιὰν τοῦ μήλου ἐπαναπαυόμεθα, καὶ τότε ἀποστρέφοντες, τὸ θεῖον ἡδύνοντες, τὸ σωφρονεῖν καὶ σῶμα τρέφοντες, τὸ στόμα γλυκαίνοντες:

Φίλωνος:

Ἐν τῇ σκιᾷ αὐτοῦ τουτέστι τοῦ νόμου, τοῦ λέγοντος, οὐ φονεύσης

καὶ τὰ ἑξῆς. σκιὰν γὰρ ἔχων ὁ νόμος, καρπὸς δ' αὐτοῦ ὁ
εὐαγγελικός :—

Πρὸς τοὺς φίλους :—

λ' Εἰσαγάγετέ με εἰς τὸν οἶκον τοῦ οἴνου :—

Ὢ πῶς τρέχει τὸν θεῖον δρόμον, ἡ καλῶς τῇ ἵππῳ παρεικα-
σθεῖσα ψυχή, ὡς πυκνῶς τοῖς ἅρμασι τοῖς ἔμπροσθεν ἐπε-
κτείνεται. οὐ γὰρ ἀρκεῖται ἐπὶ τῷ τῆς σοφίας κρατῆρι, ἀλλ' εἰς αὐ-
τὴν τὴν ληνὸν τοῦ μυστικοῦ οἴνου γενέσθαι ποθεῖ :—

λα' Συγκεράσατέ με ἐν τῷ μελιχρῷ. τάξατε
εἰς ἐμὲ ἀγάπην :—

Ποιήσατέ με τεταγμένην γενέσθαι ἐν τῇ ἀγάπῃ, μήποτε πάλιν
ἐκπέσω αὐτῆς. ἐπειδὴ ἀγάπην ἀθετήσασα τὴν πρώτην διὰ τῆς
παρακοῆς ἐν τοῖς ἐχθροῖς ἐλογίσθην, νῦν δ' αὖθις εἰς τὴν αὐ-
τὴν ἐπανελθοῦσα χάριν, δι' ἀγάπης τῷ δεσπότῃ συναρμοσθεῖσα.
κυρώσατέ μοι τὸ τῆς χάριτος ταύτης τεταγμένον καὶ ἀμετά-
στατον, δι' ἐπιμελείας καὶ προσοχῆς ἐν τῷ παντὶ συντηροῦν-
τές μοι τὴν πρὸς τὸ κρεῖττον ῥοπήν. τάξατε ἐπ' ἐμὲ ἀγάπην.
ἐπιτορεύσατε. πῶς μὲν ἀγαπᾶν χρὴ τὸν θεόν, πῶς δὲ τὸν πλησίον :—

λβ' Στηρίξατέ με ἐν μύροις :—

Μύροις τῆς ἀρετῆς. δυσώδης γὰρ ἡ ἁμαρτία. ὁ τοίνυν στηρι-
χθῆναι βουλόμενος ἐν μύροις, τὸ βέβαιον ἐν ταῖς ἀρεταῖς
αὐτῷ προσγενέσθαι ζητεῖ :—

λγ' Ἐπανακλίνατέ με οἰνάνθῃ. στοιβάσα-
τέ με ἐν μήλοις :—

Στοιβάσατέ με ἐν μήλοις τοῖς κατὰ Χριστὸν πλεονεκτήμασιν,

ἃ κατὰ τάξιν ἐπιζωναπλούμενα, χαριέστατα τὴν θείαν ἐργά-
ζεται, πρὸς ὕψος ἐπανάγουσαν. μῆλον γὰρ ὅλης, διὰ τὸ γλυκὺ
τῆς σαρκός, καὶ ἐρυθρὸν τοῦ αἵματος, καὶ τὴν εὐωδίαν τοῦ κη-
ρύγματος :—

Περικυκλώσατέ με μήλοις :— λδ'

Μῆλα γὰρ αἱ ἐπουράνιαι δωρεαί :—

Ὅτι τετρωμένη ἀγάπης ἐγώ :— λε'

Ἀγάπη ὁ θεός. βέλος ἐκλεκτὸν ὁ υἱός, πεμπόμενος εἰς καρδί-
αν πιστῶν. ὦ μακαρίας πληγῆς, δι' ἧς ἡ ζωὴ πρὸς ἑαυ-
τὸς ἀναλύεται :—

Τέτρωμαι γὰρ φίλτρῳ, εὐώνυμος αὐτοῦ
ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ
περιλήψεταί με :— λϛ'

Ἡ πρὸς ὀλίγον σκοπὸς γινομένη τοῦ βέλους, νῦν ἑαυτὴν ἀν-
τὶ τοῦ βέλους ἐν ταῖς χερσὶ τοῦ τοξότου βλέπει. ἡ αὐτὴ δὲ ψυ-
χή, βέλος ἐστὶ καὶ νύμφη, ὡς βέλος ἀμφοτέραις χερσὶ πρὸς
τὸν ἀγαθὸν ἰθυνομένη σκοπόν. ὡς νύμφη πρὸς κοινωνίαν
ἀναλαμβανομένη. διὰ τοῦτο φησί, εὐώνυμος ὑπὸ τὴν
κεφαλήν μου, δι' ἧς εὐθύνεται πρὸς τὸν σκοπὸν τὸ βέλος.
ἡ δεξιὰ δὲ αὐτοῦ πρὸς ἑαυτὴν διαλαβοῦσα καὶ ἐφελκομέ-
νη, κουφίζει πρὸς τὴν ἄνω φορὰν ἀπεργάζεται, κἀκεῖ πε-
μπομένη καὶ τοῦ τόξου μὴ χωριζομένην :—

Φίλωνος :—

Εὐώνυμος ὁ παρὼν βίος. δεξιὰ ὁ μέλλων. εἰ τὸ μὲν περι-
λήψεται, ὅταν τοῖς ἐκ δεξιῶν λέγει Χριστός, δεῦτε οἱ εὐλογη-

μένοι τοῦ πατρός μου. ἡ εὐώνυμος ὁ νόμος, δεξιὰ δὲ τὸ εὐαγγέλιον:

Ἄλλως:

Καὶ ἑτέρωθι περὶ τῆς σοφίας, μῆκος βίου ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ πλοῦτος καὶ δόξα. δεξιὰ οὖν αὐτοῦ ἡ τῶν θείων ἐπιστήμη, ἐξ ἧς ἡ αἰώνιος ζωή. ἀριστερὰ δὲ ἡ τῶν αἰσθητῶν γνῶσις, ἐξ ὧν πλοῦτος καὶ δόξα. οὕτω καὶ ἡ νύμφη φησίν, εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, τουτέστιν ὑπερέχει ὁ νοῦς μου ὑπὲρ τὰ αἰσθητά. καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. ἡ θεία γνῶσις περιλήψεταί με. τὸ γὰρ εἴρηται πάλιν, τίμησον αὐτήν, δῆλον δὲ ὅτι τὴν σοφίαν, ἵνα σε περιλάβῃ:

λς′ Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ:

Ἐὰν μαθητευόμεναι τῇ ψυχῇ προκόπτητε τῇ ἀγάπῃ ἕως θελήματος αὐτοῦ, ὥστε ἐν σαρκὶ ζῶντας μὴ κατὰ σάρκα ζῆν, πιστοῦμαι ὑμᾶς ἀγγελικὴν ἀπολήψεσθε κατάστασιν ἐν τῇ παλιγγενεσίᾳ. δυνάμεις γὰρ καὶ ἰσχὺς τοῦ κόσμου, αἱ ἀγγελικαὶ δυνάμεις:

Φίλωνος:

Τὰς τῶν ἀγρίων ψυχὰς ὁρκίζει κατὰ τῶν θεοσημείων, ἃς ἔδειξεν ἐν τῷ βίῳ αὐτῆς, πρεσβείαις ἐξεγείρῃ τὸν πόθον αὐτοῦ πρὸς αὐτήν. Ἰσίδωρος δὲ τὸ ἐάν, οὐ σύνδεσμον, ἀλλὰ ῥῆμα δέχεται, καὶ οὕτω φησί. παρακαλῶ ὑμᾶς ἐάσατε τὴν ἀγάπην, εἰς ὕψος ὅταν ἂν βουληθῇ ἐξεγεῖραι ἀπαρεμφάτως:

Ἄλλως:

νι τοῦ ὁρκίζω· ὅρκος δέ ἐστι λόγος πιστούμενος δι' αὐτοῦ τὴν ἀλήθειαν. διπλῆ γὰρ ἡ κατὰ τὸν ὅρκον συνήθεια. ἢ γὰρ αὐτοὺς τοὺς πιστοῦντας ἀκούουσι τὴν ἀλήθειαν, ἢ ἄλλως διὰ τὸ ὁρκισμοῦ τὴν ἀνάγκην ἐπάγει, τοῦ μηδὲν παραψεύσασθαι. ἢ τὸ ὁρκίζω, συνῆψα συμβεβαιῶ. ὡς τὸ ἐνορκίζοντες τοῦ ὁρκοῦ ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύεσι τοῦ ἀγροῦ, κτ. τῶν δορκάδων καὶ κατὰ τῶν ἐλάφων τοῦ ἀγροῦ. δυνάμεις καὶ ἰσχύες τοῦ ἀγροῦ, σῖτος καὶ οἶνος. ὁ οὖν ὅρκος κατὰ τῶν μυστηρίων. ἐὰν ἐγείρητε καὶ ἐὰν, αὐτὸ τὸ εἴπω:

Φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει, πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς: λη'.

Πεπληρωκὼς γὰρ ἐν προφήταις, ὕστερον ἥκει καταπεμβαίνων τῶν πονηρῶν δυνάμεων:

Φίλωνος:

Ἐφαλλόμενος προφήταις καὶ ἀποστόλοις. κατὰ γὰρ καὶ γὰρ φησὶν ἡ θεία, εἰς ψυχρὰς ὁδοὺς διαβαίνει. ὄρη γὰρ οἱ προφῆται. ἐπεὶ ἀνέφαινε τὰς ἡλίου πρῶτον καταλάμπονται, ὡς ἐπὶ δορκάδος καὶ ἐλάφου διαλλόμενος ἐπὶ τοὺς βουνούς. διήλθε γὰρ ἀπὸ τῶν προφητικῶν εἰς τὰ εὐαγγέλια, καὶ ἐφ' ἑκάστου τῶν ἀγρῶν ἦλθε, καὶ δι' αὐτῶν ἐλάλει:

Ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι, ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ: λθ'.

Τὸ ἀεὶ καταλαμβανόμενον, ἄλλοτε ἄλλως ἐστὶν ὁ χαρακτὴρ αὐτοῦ. ἡ οὖν δορκὰς σημαίνει τὴν ὀξυωπείαν, τοῦ, τὸ πᾶν

ἐπιβλέποντες. φερωνύμως γὰρ κέκληται τὸ ζῶον, ἀπὸ τοῦ δέρκεσθαι. καὶ νεβρῷ τῶν ἐλάφων παρεικάζεται, ὡς πατῶν τε καὶ ἀναλίσκων τὴν ἐναντίαν ἐνέργειαν. ὃς καὶ τοὺς μαθητὰς εἰς τὴν τῶν ἐλάφων κατεργάζεται φύσιν. ἡ γὰρ ἔλαφος, ἀναιρετικὴ τῶν ὄφεων. ὄρη δὲ Βεθὴλ οἱ δίκαιοι, ἐν οἷς οἰκεῖ ὁ θεός. ἀπὸ τοῦ κοινοῦ τὸ ἥκει. ἥκει ἐπὶ τὰ ὄρη Βεθήλ, οἱ δίκαιοι ἐπὶ τὸ οὐράνιον ὕψος. Βεθὴλ γὰρ οἶκος θεοῦ:

μ. Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν:

Ἀντὶ τοῦ πρὸ σαρκώσεως, τοῦ μετὰ τοίχου τοῦ φραγμοῦ, ὅ ἐστι τοῦ νόμου τοῦ τὴν σκιὰν ποιοῦντος τῶν μελλόντων ἀγαθῶν. οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων δεικνῦντος, οὗ ὄπισθεν σαφὴς ἡ ἀλήθεια, ὕστερον ἐπιλάμπει:

μα. Παρακύπτων διὰ τῶν θυρίδων, ἐκκύπτων διὰ τῶν δικτύων, ἀποκρίνεται ἀδελφιδός μου λέγει μοι:

Θυρίδες οἱ προφῆται, δι' ὧν προδιέλαμψε τὸ φῶς. δίκτυα δὲ εὐαγγέλια, τὰ νομικὰ ποικίλματα. ἢ ὅτι μᾶλλον διὰ τῶν ἁλιέων ὅλος ἐξέλαμψεν, ἀκούωμεν δὲ οἷα πρὸς τὴν ἐκκλησίαν λαλεῖ, ὁ μήπω ἐντὸς τοῦ τοίχου γενόμενος, ἀλλ' ἔτι διὰ τῶν φωταγωγῶν θυρίδων αὐτῇ προσφθεγγόμενος:

μβ. ἐλθὲ

Ἀνάστα ἡ πλησίον μου καλή μου περιστερά μου:

Πρῶτον ἀνάστα τοῦ πτώματος, εἶτα πρόελθε εἰς ἀρετήν, καὶ οὕτω πλησιάσασα μοι καλὴ γενήσῃ περιστερά, τουτέστι πνεύματος ἁγίου μετέχουσα. πρὸς ὃ γάρ τις βλέπει, κατ' ἐκεῖνο καὶ σχηματίζεται.

περιστερά μου ἡ ἀκέραιος :

Ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν. ὁ ὑετὸς ἀπῆλθεν. ἐπορεύθη ἑαυτῷ. τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ. καιρὸς τῆς τομῆς ἔφθασε : μγ'

Χειμῶνα ἢ ἀπονεκροῦσαν καὶ ψύχουσαν τὴν ψυχὴν ἁμαρτίαν. ὁ αὐτὸς δὲ καὶ ὑετὸς καθέκαστον τῶν νοημάτων πειρασμοῦ τινος σημαινομένου. ἐλθόντος οὖν τοῦ τὸ ἔαρ ἡμῖν τῶν ψυχῶν ἐμποιήσαντος, πάντα εἰς γαλήνην καὶ νηνεμίαν μετεσκευάσθη. καὶ πάλιν ἀναθάλλειν ἄρχεται, τοῖς ἰδίοις ἄνθεσιν ἡ φύσις ἡμῶν ὡραΐζεται. ἄνθη δὲ τοῦ βίου ἡμῶν αἱ ἀρεταί, νῦν μὲν ἀνθοῦσαι, τὸν δὲ καρπὸν αὐτῶν τῷ ἰδίῳ καιρῷ παρεχόμεναι :

Φίλωνος :

Τοὺς ἐπὶ τῷ σταυρῷ πειρασμοὺς τοῖς ἀποστόλοις συμβάντας. καὶ τὰ πάθη τῶν ὑετῶν παρῆλθεν. ὁ ὑετὸς ἀπῆλθεν. ἐπορεύθη ἑαυτῷ. τοῦτο δὲ ὡς ἀπὸ ἐμψύχου καὶ προαιρετικοῦ. τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, ἡ εὐωδία τῶν ἀποστολικῶν διδαγμάτων. καιρὸς τομῆς ἔφθακε :

Φίλωνος :

Τοῦ καθαίρεσθαι ἀπὸ ἁμαρτημάτων κλαδεύσεως :

Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν : μδ'

Τουτέστι τοῦ βαπτιστοῦ, διὰ τὸ σῶφρον καὶ ἐρημικόν. καὶ τοῦ φαιδροῦ ἔαρος, μετὰ τὸν χειμῶνα προοίμιον :

Φίλωνος :

Ἐν τῇ ἐκκλησίᾳ, κατὰ τὸ θελητὴ γῆ ὑμεῖς ἐστέ :

με΄. Ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς:

Συκῆ ἡ συναγωγή· ὄλυνθοι οἱ ἀπόστολοι, πρόδρομοι σύκων· σύκα δὲ οἱ μετ' αὐτοὺς ἀπόστολοι, ἤτοι διδάσκαλοι· ἤγουν ἡ πρώην γεώδης καὶ ὑγροτάτη ἐκείνης ζωή, ἔδειξε προοίμια βρωσίμων καρπῶν:

μϛ΄. Αἱ ἄμπελοι κυπρίζουσιν ἔδωκαν ὀσμήν:

Αὗται δὲ αἱ εὐαγγελικαὶ διδασκαλίαι δι' ὧν ὡς παρ' ἐξ οἴνου τοῖς αὐτοῖς πρὸς τὸ θειότερον. ἐκ δὲ τῶν ὑλικῶν ἡ ἔκστασις γίνεται, ἤτοι αἱ ἐκκλησίαι ἀνθοῦσί τε εὐωδιάζουσιν:

μζ΄. Ἀνάστα ἐλθὲ ἡ πλησίον μου καλή μου περιστερά μου:

Αἱ ἐπαναλήψεις, τὰς ἐπαναβάσεις σημαίνουσι. καλὴν ἐκ καλῆς γίνεσθαι, καὶ τὴν αὐτὴν εἰκόνα μεταμορφοῦσθαι, ἀπὸ δόξης εἰς δόξαν κελεύονται:

μη΄. Καὶ ἐλθὲ σὺ περιστερά μου ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος:

Ἐντὸς σκέπης τῆς πέτρας. πέτρα ἡ εὐαγγελικὴ διδασκαλία, τὸ πᾶν στερρὰ τυγχάνουσα, τὸ μηδὲν πηλῶδες ἢ χοϊκὸν ἔχουσα κατὰ τὸν νόμον. ὃς προτείχισμα καλεῖται, διὰ τὸ προοικονομεῖν τὴν πέτραν. τοὺς γὰρ τύπους ἀναπληροῖ τοῦ νόμου τὸ εὐαγγέλιον, τὸ ἐχόμενα ἀλλήλων τὰ δόγματα γειτνιῶντα κατὰ τὴν δύναμιν. ταῦτα τοῦ λόγου διὰ τῶν θεοειδῶν τὴν νύμφην ἐμβοήσαντος, καλῶς ἀποκρίνεται ἡ περιστερὰ προσληφθεῖσα διὰ τῶν νοημάτων αὐτῆς. λέγει γάρ· ὅτι ἐν σκέπῃ τῆς πέτρας, ἅπαξ ἔγνωσμαι λόγον ὄντα τὸν τοῦ πατρός· ὅτι αὐτὴ πέτρα,

καὶ μὴ μετακινηθῇς· μήποτε αἱρετικὸς εὑρών σε ἀπατήσῃ:

Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία. μη

Ἐπιφάνηθι τῷ προσώπῳ σου καὶ εὐαγγελίζου τὴν ζωήν. εἰ γὰρ φησὶν ἡ διὰ τῶν θεοειδῶν φωνή, τουτέστι τῶν προφητῶν σου ἐστὶν ἡδεῖα, πόσῳ μᾶλλον ἡ κατὰ πρόσωπόν σου ἐμφάνεια. εἰ ῥήματα τῆς ζωῆς αἰωνίου ἔχεις, καὶ ἡ ὄψις σου ὡραία, ὅτι με μεμορφώσης:

Ὁ νυμφίος πρὸς τοὺς φίλους:

Πιάσατε ἡμῖν ἀλώπεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας. καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν: ν

Μικρούς, ἤτοι εὐτελεῖς οἱ δαίμονες, καταπατούμενοι ὑπὸ τῶν δικαίων· ἤτοι τὰς ἀσθενεῖς ψυχὰς ἀφανίζουσιν. ἀλώπεκες δὲ καὶ οἱ δόλιοι ἐργάται καὶ αἱρετικοί, οἱ τοὺς νηπίους ἐν λόγῳ σκανδαλίζοντες· καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν, ἐὰν ἐκεῖνοι πιασθῶσιν:

Ἀδελφιδός μου ἐμοί, κἀγὼ αὐτῷ: να

Ἐκοινώνησε γὰρ ἡμῖν αἵματος καὶ σαρκός, καὶ ἡμεῖς αὐτῷ τῆς ἀφθαρσίας. ἤτοι ὅτε ἐν τῇ ψυχῇ γίνεται, τοῦ ψυχὴ πρὸς τὸν μετοικίζεται:

Ὁ ποιμαίνων ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαί: νβ

Μὴ χόρτῳ σαρκικῷ ἡμᾶς ἐκτρέφων, ἀλλὰ καθαρότητι τῶν δ'ἀπὺς, πυκνοὺς ἡμᾶς ἐκτελῶν, ἕως οὗ λάμψασα ἡ τῆς ἡμέρας, περὶ ἧς φησιν, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος. ἀναλωθεῖ

σουσιν αἱ σκιώδεις τοῦ βίου φαντασίαι ἀφ' ἡμῶν, ἕως οὗ διαπνεύσῃ· ἕως οὗ τοῦ ἁγίου πνς ἀξιωθεῖσα, τοὺς τύπους ἀποβάλλῃ: –

νε' Ἀπόστρεψον ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι, ἢ νεβρῷ ἐλάφων ἐπὶ ὄρη κοιλωμάτων: –

Ἰδὲ φησὶν ὡς δορκάς, ὀξέως ἐνθυμήσεις τῶν ἀνθρώπων βλέπων· ἀφανίζων τὴν γνῶσιν τῆς κακίας. ὡς νεβρὸς ἐλάφων, ἐξαφανίζων τὸ γένος τοῦ ὄφεως. ὄρος γὰρ τὰ κοιλὰ τοῦ ἀνθρωπείου βίου; πᾶν γὰρ τὸ κατὰ τῆς ἀληθείας ὑψούμενον, βάραθρόν ἐστι καὶ οὐχὶ ὄρος. κοιλώματα καὶ οὐκ ἀναστήματα. ἐὰν οὖν ἐπιδράμῃς διὰ τούτων φησί, πᾶσα ἡ τοιαύτη φάραγξ πληρωθήσεται, καὶ πᾶν τὸ τοιοῦτον ὄρος ταπεινωθήσεται. ἀπόστρεψον ἀπὸ ἰουδαίων εἰς τὰ ἔθνη, ἐπὶ ὄρη κοιλωμάτων. αἱ τῶν δικαίων ψυχαί, ὄρη διὰ τὸ ὑψηλόν. κοιλώματα δὲ διὰ τὴν ταπεινοφροσύνην, ἢ διὰ τὸ δέχεσθαι καὶ κατέχειν τὸν λόγον, κοιλωμάτων. θυμιαμάτων. διχοτομημάτων: –

÷ ἀνακύπτουσι.

νς' Ἐπὶ κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτόν, καὶ οὐχ εὗρον αὐτόν: –

Ἐν ἀναπαύσει φησὶ λοιπὸν γενομένη, ὡς ἤδη εὑροῦσα τὸ ζητούμενον ἐν τῷ γνόφῳ τῆς καταλήψεως, πάλιν ὁμοίως ἀπέχουσα τοῦ εὑρεῖν αὐτόν. καὶ γίνεταί μοι πᾶσα κατάληψις, ζητήσεως ἑτέρας ἀρχή, ἀπὸ δυνάμεως εἰς δύναμιν πορευομένη: – : –

Φίλωνος:

Οἱ γὰρ ἐν σκότῳ φησὶ καὶ κοίταις ἁμαρτωλῶν βιωτεύοντες, κἂν δοκῶσιν ζητεῖν τὸν, οὐχ εὑρίσκουσιν αὐτόν:

Ἐκάλεσα αὐτὸν καὶ οὐχ ὑπήκουσέ μου. νε.
ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει,
ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις, καὶ
ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου. ἐζήτησα αὐτόν,
καὶ οὐχ εὗρον αὐτόν. καὶ οὐχ ὑπήκου- ἢ ἐπεκάλεσα αὐτόν.
σέ μου:

Πάλιν σὺν αἰσθήσει ἑαυτήν, ἐπιπολεῖ τῇ διανοίᾳ τὴν ἄνω πόλιν, ἐν ᾗ ἀρχαὶ καὶ ἐξουσίαι, ἡ δὲ τῶν ἐπουρανίων πανήγυρις, ἣν ἀγορὰν ὀνομάζει. καὶ τὸ ἀπερίληπτον ἀριθμοῦ πλῆθος, ὃ διὰ τῆς πλατείας διασημαίνει ὀνόματι, εἰ ἄρα ἐν τούτοις εὕροι τὸν ἀγαπώμενον:

Φίλωνος:

Καὶ οἱ διανιστάμενοι γὰρ τῶν ἁμαρτιῶν, ἔτι ἐν ταῖς τοῦ βίου πραγματείαις ὄντες, οὐχ εὗρον αὐτόν:

Ἀθανασίου:

Ἀναγνώσομαι τὸν νόμον, ἀναγνώσομαι τοὺς προφήτας, ἐρευνήσω τὰ εὐαγγέλια. ταῦτα καὶ ἀναζητοῦσα τῷ θείῳ πόθῳ φησί, ὅτι ἐπὶ κοίτην μου ἐν νυξί. κοίτην ὀνομάζει τὴν τελειοτέραν τοῦ ἀγαθοῦ μετουσίαν, καὶ νῦν ἀπελαύνει τοῦ τῆς κοίτης καιροῦ· διὰ δὲ τοῦ ὀνόματος τῆς νυκτός, ἐνδείκνυται τῶν ἀοράτων τὴν θεωρίαν, καθάπερ τὰ Μωσέως τοῦ ἐν τῷ γνόφῳ γενομένου, ἐν ᾧ ἦν ὁ θεός:

Τοῦ αὐτοῦ:

Οὐ γὰρ οἶδεν τίς ὁ πρώτως με θεογνωσίαν μοι ποιμαινόμενον ἐν ἔσπειρεν ὁ λόγος, καὶ τελέως διαναστᾶσα, ζητῶ τὸν πρῶτον, καὶ παρακαλῶ αὐτὸν ὀφθῆναί μοι, καὶ περιέρχομαι ζητοῦσα τὸν ἀγαπώμενον:

Ἄλλως:

Εἶτα γὰρ ἄλλος ὀνομάσουσιν αὐτόν, οὐ καθικνεῖται τῆς φύσεως αὐτοῦ:

ιε. Εὕροσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει· μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε; οἱ φύλακες οἱ περιοδεύοντες:

Ἡ μὲν οὖν πᾶσαν διερευνωμένη πᾶσαν ἀγγελικὴν διακόσμησιν, καὶ ὡς οὐκ εἶδεν ἐν αὐτοῖς εὑρεθέντα ἀγαθοῖς τὸ ζητούμενον, ἐν ἑαυτῇ διελογίσατο· ἆρα γὰρ ἐκείνοις ληπτόν ἐστι τὸ παρ' ἐμοῦ ἀγαπώμενον; καί φησι πρὸς αὐτούς· μὴ καὶ ὑμεῖς ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε; διὰ δὴ τὸ ἐν σιωπῇ ἐνδιεξαμένων τό, κἀκείνοις ἄληπτον εἶναι, τὸ δὲ καταλιποῦσα πᾶν τὸ εὑρισκόμενον, οὕτως ἐγνώρισε τὸ ζητούμενον. λέγει γάρ, οἱ δοκοῦντες εἶναι νομομαθεῖς ἰουδαῖοι, οἱ δοκοῦντες πρὸς δικαίου τὸν λόγον, τὸν αὐτοῖς διὰ τῶν προφητῶν κηρυττόμενον. ἐλθόντες δὲ αὐτοῦ μὴ πιστεύσαντες, καὶ τούτους ἠρώτων, νομίζουσα ἐν αὐτοῖς εἶναι τὴν ἀλήθειαν:

ιζ. Ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου:

Ὅτε ἔξω ἐμαυτὴν πάσης κατέστησα κτίσεως, τότε τῇ πίστει ἐν τῷ ἀκαταλήπτῳ κατέλαβον τὸ ποθούμενον:

Φίλωνος :-

Ὡς μικρὸν παρῆλθον ἀπὸ τῶν ἐν τῇ πόλει, τουτέστι τῶν μαθητῶν, εὗρον αὐτόν· βέλτιον παρελθοῦσα αὐτοὺς εὗρον :-

Ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφήσω αὐτόν, ἕως νη.
οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου, καὶ
εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης με :-

Οὐκ ἀφήσω αὐτόν φησι τῇ τῆς πίστεως λαβῇ τοῦ εὑρεθέντος ἀντεχομένη, ἕως ἂν ἐν τῷ βάθει γένηται τοῦ ἐμοῦ ταμιείου, τουτέστι τῆς ἐμῆς καρδίας. ἢ τὸ ἐμμεῖναι δεικνύει τῆς θείας αὐτοῦ ἐννοήσεως, ὅταν ἐπανέλθῃ πρὸς τὴν ἀρχαίαν κατάστασιν. μετὰ ἀπαθείας τὴν πρώτην τῆς συστάσεως ἡμῶν νοῦν εἰς αἰτίαν οὐχ ἁμαρτήσεται. ἐκράτησα αὐτὸν ταῖς δικαιοπραγίαις, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τῆς μητρός μου, εἰς τὸν χοῦν τῆς ἐξ ἧς σεσάρκωται, καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης με. οἶκος ψυχῆς, τὸ λογιστικὸν ἐν ᾧ κεῖνται αἱ ἀρεταί, εἰς τὸν ᾅδην ὅθεν ἀνέστη :-

Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνά- νθ.
μεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε
καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως οὗ θελήσῃ :-

Ἐπιτείνεται πάλιν ὑπὸ τῆς ἄγαν φιλαλληλίας, καὶ ταῖς μαθητευομέναις ψυχαῖς διαλέγεται, καὶ διὰ τοῦ ὅρκου τῶν ἐν ὕψει ἀσωμάτων δυνάμεων, πρὸς τὸ ἴσον τῆς ἀγάπης διανίστησι μέτρον, ὥστε τὸ θέλημα τοῦ νυμφίου καὶ ἐπ' αὐτῶν ἐνεργὸν γένηται :-

Οἱ φίλοι. Τίς ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου :- ξ.

Τὴν ἐπὶ τὸ κρεῖττον τῆς νύμφης μεταβολὴν ξενιζόμενοι, διερω

ἰδοῦσιν ἀλλήλοις τοῦ νυμφίου, παρὰ τὴν πρώτην αὐτὴν γινομένην βλέποντες. τὸ δ' ἀπὸ τῆς ἐρήμου, ἀντὶ τοῦ διὰ τῆς ἐπιπόνου ἐγκρατείας, κατὰ τὸ, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. ἀφ' ἧς καὶ ἡ σὰρξ τοῦ προφήτου ἐδίψει τὴν θείαν ἀγάπην, ἤτοι ἀπὸ τῆς εἰδωλολατρείας :

ζα. Ὡς στελέχη καπνοῦ τεθυμιασμένη σμύρναν καὶ λίβανον, ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ :

Τὸ μὲν οὖν ἐκ τῆς ἐρήμου ἀναβαίνειν αὐτήν, μαρτυρίαν ἔχει τοῦ διὰ περιβολῆς τε καὶ ἐγκρατείας, εἰς βαθὺ τὸ ὕψος ἀναδραμεῖν, ὡς καὶ τοῖς φίλοις τοῦ νυμφίου θαυμάζεσθαι. οἱ διὰ πολλῶν ὑποδειγμάτων, τὸ κάλλος αὐτῆς ἑρμηνεύουσιν. εἰς τε γὰρ πλῆθος δένδρων ἄγεται τῶν ἐν ὕλῃ θαυμάτων ἡ εἰκασία, ὡς ἂν τὸ ποικίλον καὶ γενναῖον τῶν ἀρετῶν, ἐντεῦθεν διαδεικνύοιτο. ἐπεὶ δὲ καπνὸς ἐκ θυμιαμάτων, εἰς τὴν εἰκόνα τοῦ κάλλους παραλαμβάνεται, τοῦ οὐδὲ ἁπλοῦ, ἀλλὰ σμύρνης καὶ λιβάνου συγκεκραμένων. εἰ μὴ γάρ τις νεκρώσῃ τις ἑαυτόν, οὐκ ἂν γένοιτο λίβανος, ὅ ἐστι θυμίαμα τῷ θεῷ. θυμίαμα δ' ἀπὸ πάντων τῶν ἀρωμάτων τῶν ἡδυνόντων τὸν θεόν, τουτέστι τῶν ἐν ἔργῳ τοῦ θεοῦ. ταῦτα εἰπόντες, στρέφουσι πρὸς αὐτὴν τὸν λόγον, τὸ ὅραμα φασίν, εἰς πλείονα πόθον ἐγείροντες. καπνοῦ τεθυμιαμένη, ἤτοι ἀναθυμιάσεις, σμύρναν καὶ λίβανον ἀπὸ πάντων, ἐκ παντὸς χροὸς ἐμπορικοῦ :

ζβ. Ἰδοὺ ἡ κλίνη Σαλομῶν, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς, ἀπὸ δυνατῶν Ἰσραήλ, πάντες κα

ἔχοντες ῥομφαίαν δεδιδαγμένοι πόλε-
μον. ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐπὶ μηρὸν αὐ-
τοῦ, ἀπὸ θάμβους ἐν νυξίν :–

Μία μὲν ἡ κλίνη τοῦ εἰρηνικοῦ βασιλέως γίνεται, πάντες οἱ σωζό-
μενοι, δι' ἐπιγνώσεως εἰς ἓν συλλεγόμενοι. ἴδιον γὰρ τοῦ δώρου
τοῦ θεοῦ. τοῦτο γὰρ ὁ ἑξήκοντα, τὸ μηδενὶ τῶν αἰσθητηρίων πρὸς ἁμαρ-
τίαν βλέπειν. ἐπεὶ οὖν εἰς δώδεκα διαιρεῖται φυλὰς ὁ Ἰσραήλ,
καλῶς τὸ πλήρωμα τῶν σωζομένων, ὁ ἀριθμὸς τῶν ἑξήκοντα
κεφαλαιοῦται. ἑνὸς γὰρ ἀφ' ἑκάστου μέρους λαμβανομέ-
νου, εἰς πέντε ὁπλίτας κατὰ τὸν ἀριθμὸν τῶν αἰσθήσεων, τοῦ
ἑνὸς τούτου μεριζομένου. οὐκοῦν πάντες οἱ τὴν θείαν ἐνδυ-
σάμενοι πανοπλίαν, οἱ τὰς πέντε αἰσθήσεις νοηταῖς ῥομφαί-
αις, τοῖς κατὰ πνευματικοὺς λογισμοὺς περιφράξαντες, μίαν κυκλοῦσι
τὴν τοῦ βασιλέως κλίνην, τουτέστι τὴν ἑαυτῶν καρδίαν ὡς
ὁπλῖται φυλάσσοντες ἐν ἀπαθείᾳ καὶ καθαρότητι, ὡς θαμ-
βεῖν καὶ ἐκδειματοῦν τοὺς ἐν νυξὶ καὶ σκότῳ ἐπηρεάζον-
τας δαίμονας. ἰδοὺ ἡ κλίνη τοῦ Σαλομῶν, ἡ ἐκκλησία, τὸ
μνῆμα τοῦ Χριστοῦ, ἐπίγνωσις τοῦ θεοῦ, δι' ἧς ἐπαναπαύεται τοῖς
ἐπιζοῦσιν. ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς, οἱ ἐπιγνῶντες
τὸν τάφον, τὸ πλήρωμα τῆς τελειώσεως, πάντες κατέχοντες
ῥομφαίαν. δύο ῥομφαίας ἔχουσιν οἱ Χριστοῦ, τὴν μὲν, εὐρυθμοῦσαν
τὰ πνευματικά. τὴν δέ, τὰ ψευδῆ δόγματα. τὸ ῥομφαία
γὰρ δίστομος ἐν ταῖς χερσὶν αὐτῶν. ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐπὶ
μηρὸν αὐτοῦ, ἡ περὶ σωφροσύνην ἐγκράτεια. ἀπὸ θάμβους
ἐν νυξίν. ἡ δὲ ῥομφαία αὐτοῖς, πρὸς τὸ μὴ φοβεῖσθαι τὸ σκότος

διὰ φόβου νυκτερινοῦ:

ξς' Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλωμών, ἀπὸ ξύλων Λιβάνου:

Ὁ τὸν θεὸν φέρων ἐν ἑαυτῷ, φορεῖόν ἐστι τοῦ ἐν αὐτῷ καθιδρυμένου. ὁ κατὰ τὸν Παῦλον μηκέτι αὐτὸς ζῶν, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστόν. πολλαχοῦ δὲ τῆς γραφῆς τὸ ὄρος ὁ Λίβανος, εἰς ἔνδειξιν τῆς ἀντικειμένης δυνάμεως μνημονεύεται. ὡς ὅταν λέγῃ, συντρίψει κύριος τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς καὶ τὸν Λίβανον, ὡς τὸν μόσχον ἐκεῖνον, δηλαδὴ τὸν ἐν τῇ ἐρήμῳ καταλεανθέντα ὑπὸ τοῦ Μωυσέως. οὐκοῦν ἡμεῖς ἦμεν ἐρριζωμένοι, διά τε τοῦ πονηροῦ βίου καὶ τῆς τῶν εἰδώλων ἀπάτης, ἀλλ' ἐπειδὴ ἐκεῖθεν ὑπὸ τῆς λογικῆς ἀξίνης ἐτμήθημεν, ἐν ταῖς τοῦ τεχνίτου χερσὶν ἐγινόμεθα, φορεῖον ἑαυτοῦ ἡμᾶς κατεσκεύασε:

Θεοφίλου:

Ἐξ ἐθνῶν τὸ κατὰ σάρκα ὅπως, σῳζομένου καὶ τοῦ ἐξ Ἰούδα. ἴσως οὖν ἐστὶ τὸ ξύλον τοῦ Λιβάνου. ἐν τούτῳ ἡ Μωαβῖτις. αὕτη γὰρ τέτοκε τὸν Ἰωβήδ, ἐξ οὗ Ἰεσσαί. Φορεῖον δὲ ἴσως ἐστὶ τὸ σῶμα. Φορεῖον ἐποίησεν, ἀπὸ κοινοῦ τὸ ἐποίησεν. ὡς ἂν εἰ ἔλεγεν, ὅλον δὲ τὸ φορεῖον ἀγάπη ἐστί, κατὰ τὸ μέσον δὲ τούτων ἡ ἀγάπη. Φορεῖον, τὰς θεοφόρους ψυχάς. ἀπὸ ξύλων τοῦ Λιβάνου. ποῖον γὰρ ξύλον τοῦ ἀντικειμένου ἦν:

ξζ Στύλους αὐτοῦ ἐποίησεν ἀργύρεον, καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον. ἐπιβάσεις αὐτοῦ πορφύρας. ἐντὸς αὐτοῦ λιθόστρωτον. ἀγά-

ἐν ἄλλοις· ἐπίβασις αὐτοῦ πορφυρᾶ.

πην ἀπὸ θυγατέρων ἱλῆμ :—

Στύλους μὲν νοητέον, τοὺς στύλους τῆς ἐκκλησίας, οἳ ἀληθῶς ἀργύρειόν τε καθαρὸν καὶ πεπυρωμένον ὅλως ἐστίν, οἱ τῆς βασιλείας ἐν τῷ ὑψηλῷ τῆς βασιλείας ἐπιβεβήκασιν. ἐξαίρετον γὰρ γνώρισμα τῆς βασιλείας, ἡ πορφύρα νομίζεται. τὸ δὲ ἡγεμονικὸν αὐτῶν ἐν ᾧ τὴν κεφαλὴν αὐτοῦ κλίνει ὁ βασιλεύς, τὸ τῶν καθαρῶν δογμάτων χρυσίον ἐστίν. ὅσα δ' ἀφανῆ τε κρύφια τῇ καθαρᾷ ζωῇ κοσμήσει τῶν τιμίων λίθων ἐνωραΐζεται. διὰ τῶν ἁπάντων ἀπὸ τῶν θυγατέρων, ἡ ἀγάπη ζωΐσατ(αι) :—

Ἄλλως :—

Ἔστι δὲ καὶ ἑκάστῳ τάγματι τῶν κατὰ τὴν ἐκκλησίαν τεταγμένων ἐφαρμόσαι τοῦ φορείου τὰ μέλη, καθά φησιν ὁ ἀπόστολος· ὅτι ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον, ἀποστόλους· δεύτερον, προφήτας· τρίτον, διδασκάλους· ἔπειτα καθεξῆς ἕκαστον πάντα πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων. στύλους αὐτοῦ ἐποίησεν ἀργύρειον, τὰ καθαρὰ διδάγματα, οἷς στηριζόμεθα. καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον· ἀνάκλιτον οἱ διαπυρωθέντες ἅγιοι μάρτυρες, οὓς λαβὼν οὐκέτι φησίν, ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι. ἐπίβασις αὐτοῦ πορφύρεαι, τὰ καθ' ἡμᾶς δόγματα τῆς θεολογίας, ἐφ' ᾧ τὸ ἡγεμονικὸν ἀναπαύεται. ἐντὸς αὐτοῦ λιθόστρωτον, τὸ μέσον αὐτοῦ ἐψηφολόγησεν. ἀγάπην ἀπὸ θυγατέρων ἱλῆμ. φιλίαν ἀπὸ θυγατέρων ἱλῆμ :—

Ἐξέλθετε καὶ ἴδετε θυγατέρες Σιὼν ἐν τῷ βασιλεῖ Σαλομῶν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἐν ἡμέρᾳ νυμφεύσεως ξε.

αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρ-
δίας αὐτοῦ:

Ἐξέλθετε τῶν σαρκικῶν φησὶν ἡ νύμφη πρὸς τὰς νεάνιδας ἐπιθυμιῶν, καὶ γένεσθε θυγατέρες σιών, ὡς ἀπὸ σκοπιᾶς ὑψηλῆς. τοῦτο γὰρ ἡ σιὼν ἑρμηνεύεται, ὥστε δυνηθῆναι τὸ θαυμαστὸν ἰδεῖν θέαμα, στεφανηφοροῦντα τὸν νυμφίον. στέφανος δὲ αὐτῷ ἡ ἐκκλησία γίνεται, διὰ τῶν ἐμψύχων λίθων τὴν κεφαλὴν ἐν κύκλῳ διαλαμβάνουσα. στεφανοπλόκος δὲ τοῦ τοιούτου στεφάνου ἡ ἀγάπη ἐστίν, ἣν εἴτε μητέρα εἴτε πρᾶξιν λέγοι, οὐχ ἁμαρτήσεται. καὶ γὰρ οὔτε ἄρρεν οὔτε θῆλυ τὸ θεῖον, ἀγάπη δὲ ὁ θεὸς κατὰ τὴν ἰωάννου φωνήν. καὶ ὁ παῦλος φησί, τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. τούτῳ δὲ τῷ νυμφικῷ κόσμῳ ἐναγαλλιᾶσθαι λέγει αὐτὸν ἡ νύμφη, χαίρει γὰρ ὡς ἀληθῶς σύνοικον ἑαυτῷ τὴν ἐκκλησίαν ποιησάμενος, ἐνευφραίνεται τοῖς σωζομένοις:

Φίλωνος:

Ἐξέλθετε τῆς μανίας τοῦ νόμου, ἴδετε τὸν χριστὸν καὶ τὸν ἀκάνθινον στέφανον, ὃν ἐπέθηκεν αὐτῷ ἡ συναγωγή, ἐξ αὐτῆς γὰρ τὸ κατὰ σάρκα ἐξ. νυμφεύσας δὲ ὅτε εἰ ἡμέρος θάνατος. ἐν ἡμέρᾳ δὲ εὐφροσύνης τοῦ πάσχα, ὅτε ἔλεγεν ἐπιθυμίᾳ ἐπεθύμησα τοῦ φαγεῖν:

Ἀθανασίου:

Ἰουδαίους ἐντρέπει λέγουσα, ἐξέλθετε, ἀντὶ τοῦ ἕως πότε τῇ σκιᾷ προσκαθῆσθε, ἰδοὺ γὰρ ἐξ ἰούδα ἀνατέταλκεν ὁ κύριος. ἀγάπην ἀπὸ θυγατέρων ἴδητε, τὸ στερεὸν τῶν λογισμῶν, ἢ οἱ τῶν

τρίῳ λίθοι ἅγιοι. ἐν δὲ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· ἔθηκας γάρ φησιν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου:—

Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλή:— ξε΄

Καλὴ εἶ φησὶν ἡ πλησίον μου μεμαρτυρημένη με, τὸ πάντας θέλουσα σωθῆναι. εἶπε γὰρ ἐξελθεῖν καὶ ἰδεῖν. ἡ δὲ ἐπανάληψις τοῦ ἐπαίνου, τὸ βέβαιον τῆς μαρτυρίας ἐνδείκνυται:—

Ὀφθαλμοί σου περιστεραί:— ξς΄

Τουτέστι πνευματικοί, πρὸς μηδὲν ὑλῶδες ἢ σωματικὸν βλέποντες. ἐπειδὴ γὰρ τῶν ὁρατῶν αἱ εἰκόνες τῷ καθαρῷ τῆς κόρης ἐμπίπτουσαι τὴν ὀπτικὴν ἀποτελοῦσιν ἐνέργειαν, ἀνάγκη πάντα πρὸς ὅ τις ὁρᾷ, τὴν αὐτὴν μορφὴν ἀναλαμβάνειν διὰ τοῦ ὀφθαλμοῦ, καθάπερ οἶμαι τοῦ ὁρατοῦ τὸ εἶδος ἀναμασσόμενον:—

Ἐκτὸς τῆς σιωπήσεώς σου:— ξζ΄

Προσέθηκε τῷ ἐπαίνῳ, καὶ ἄλλην ὑπερβολὴν εἰπὼν ἐκτὸς τῆς σιωπήσεώς σου. τοῦ γὰρ ἀγαθοῦ βίου, τὸ μὲν πρόδηλον, τὸ δὲ κρυπτόν, καὶ μόνῳ θεῷ γνωριζόμενον. μαρτυρεῖ οὖν ἐπὶ τοῦ ἐπαινουμένου προσώπου πλεῖον εἶναι τοῦ ὁρωμένου τὸ σιωπώμενον:—

Τρίχωμά σου, ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλαάδ:— ξη΄

Τρίχωμα τὸ ἀντὶ περιβολαίου δεδομένον ταῖς γυναιξὶ κατὰ τὸν ἀπόστολον, αἰδώς τε καὶ σωφροσύνη νοεῖται μετὰ τῆς ἐν κόσμῳ νεκρώσεως. ἀναίσθητον γὰρ ἡ θρίξ. ὥσπερ οὖν τὰ ξύλα τοῦ

λιβάνου εἰς χρυσόν τε καὶ ἄργυρον καὶ πορφύραν μεταποι-
ήσας φορεῖον ὁ βασιλεὺς κατεσκεύασεν ἑαυτῷ, οὕτως ἐπειδὴ
ὁ ποιμὴν ὁ καλὸς αὐτῶν ἀγέλας παραλαβών, εἰς ποίμνια με-
ταβάλλει τὰ αἰπόλια τοῦ Γαλαὰδ ὄρους. ἀλλοφύλου δὲ ὄρους
ὄνομα τοῦτο, τοῦ τὴν βίαν τὴν χρείαν ἀνακαλύπτοντος, ὥστε
τοὺς ἐξ ἐθνῶν τῷ καλῷ ποιμένι ἀκολουθήσαντας, εἰς τὸ τρί-
χωμα συντελέσαι τοῦ τῆς νύμφης κάλλους, δι᾽ ὧν σωφροσύ-
νη τε καὶ αἰδὼς καὶ ἐγκράτεια, ἥ τε τοῦ σώματος νέκρωσις κατὰ
τὸν προρρηθέντα λόγον διασημαίνεται. ἢ καὶ ὅτι τούτῳ τῷ ὄρει
ποτε διέτριψεν ὁ Ἠλιοῦ, ὃς μάλιστα τοῦ κατ᾽ ἐγκράτειαν
καθηγήσατο βίου, αὐχμηρὸς τὴν ὄψιν, δασὺς τὴν τρίχα, δέρ-
ματι αἰγὸς ἠμφιεσμένος. πάντες οὖν οἱ κατὰ τὸν προφήτην
ἐκεῖνον τὸν ἑαυτῶν κατορθοῦντες βίον, κόσμος γίνονται τῆς
ἐκκλησίας, ἁμιλληδὸν μετ᾽ ἀλλήλων τὴν ἀρετὴν ἐκπονοῦν-
τες. τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν. τρίχωμα ἐκκλησίας
τὰ πλήθη. Γαλαὰδ δὲ ἑρμηνεύεται κατοικία μαρτυρίας.
τοῖς μαρτυρίοις γὰρ χριστοῦ κατοικεῖται ἡ ἐκκλησία, πρόστασιν
ὄρους. αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ Γαλαὰδ ὄρους τῶν ἀλλο-
φύλων, ἐξ ὧν ἡ ἐκκλησία :-

ό. Ὀδόντες σου, ὡς ἀγέλαι τῶν κεκαρμένων,
αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, αἳ πᾶσαι δι-
δυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν
αὐταῖς :-

Ὥσπερ τὴν σωματικὴν τροφὴν τοῖς ὀδοῦσι καταλεάναντες, κα-
τάλληλον αὐτὴν γενέσθαι τοῖς σπλάγχνοις κατασκευάζομεν,

τὸν αὐτὸν τρόπον ἔστι τὰς λεπτοποιητικὰς τῶν διδαγμάτων δυνάμεις ἐν τῇ ψυχῇ, δι' ἧς ὠφέλιμος γίνεται τῷ δεχομένῳ τὸ μάθημα. οἱ τοίνυν κεκτημένοι τὰς διαιρετικὰς τῶν διδαγμάτων καθηγηταί, οὗτοι εἰσὶν οἱ τῆς ἐκκλησίας ὀδόντες, οὓς βούλεται ὁ λόγος πρῶτον κεκαρμένους εἶναι, τουτέστι πάσης ὑλικῆς αἰσθήσεως λελυτρωμένους. εἶτα τῷ λουτρῷ τῆς ζωοδόσεως παντὸς μολυσμοῦ σαρκὸς καὶ πνς καθαρεύοντας· πρὸς τούτοις ἀεί, διὰ προκοπῆς καὶ μηδέποτε πρὸς τὸ ἔμπαλιν κατασυρομένους. ἐπὶ πᾶσι δὲ διδυμοτόκους εἶναι τοὺς τοιούτους ὀδόντας. τῇ μὲν ψυχῇ τὴν ἀπάθειαν· τῷ δὲ σωματικῷ βίῳ, τὴν εὐσχημοσύνην γεννῶντας, τὸ ἐν μηδενὶ τοῦ καλοῦ ἀγονεῖν. ὡς ἀγέλαι τῶν κεκαρμένων ἤδη τῶν ὁλοκλήρων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ· ὅτι μόναι κατελθοῦσαι εἰς τὸ μυστικὸν ὕδωρ, σὺν τῷ ἀξίῳ πνι ἀνέβησαν :—

Ὡς σπαρτίον τὸ κόκκινον χεῖλη σου, καὶ ἡ λαλιά σου ὡραία :— οα´.

Κόκκινον σπαρτίον ἐστί, πίστις δι' ἀγάπης ἐνεργουμένη· ἐπαινεῖ οὖν τῆς ἐκκλησίας τὸν ζωόδεσμον ἅμα καὶ τὴν ὁμολογίαν, δι' ἧς ἀεὶ ὁμολογεῖ τὸν ὑπὲρ αὐτῆς σταυρωθέντα. ἐνδιάπυρος φησὶν ἡ τοῦ λόγου παρασκευή, ἐπειδὴ τὸ ἀκμαῖον δυναμένη. ἡ λαλιά σου ὡραία. οἱονεὶ καθ' ὥραν καὶ ἐν καιρῷ προϊοῦσα, κατὰ τὸ κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι ἐν καιρῷ ἡνίκα δεῖ εἰπεῖν λόγον. καὶ ἡ λαλιά σου ὡραία, ὡς τὸ ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου ὅτι κύριος Ἰησοῦς χριστός :—

οβ'. Ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σου, ἐκτὸς τῆς σιωπήσεώς σου:

Διὰ τοῦ ἐρυθήματος τοῦ ταῖς παρειαῖς ἐπανθίζοντος, προσφόρως ἐπαινεῖ τὴν σωφροσύνην, αἰδοῖ κατακοσμοῦσαν ἐν τῷ τῆς ῥοᾶς αἰνίγματι· ὁ γὰρ δὴ καρπὸς οὗτος στυφός τε καὶ ἀβρώτῳ τῇ ἐπιφανείᾳ ἐμπεριέχεται· οὕτως ὁ στυφὸς τε ἐγκρατὴς καὶ κατάσκληρος βίος, φύλαξ γίνεται τῶν τῆς σωφροσύνης καλῶν· διπλοῦς γὰρ καὶ ἐνταῦθα ὁ ἔπαινος, διά τε τοῦ προφαινομένου καὶ τοῦ ἐν τῷ κρυπτῷ ἁγνείας· ὡς λέπυρον τῆς ῥοᾶς μῆλόν σου· οἷον αἱ παρειαί σου· ἐκτὸς τῆς σιωπήσεώς σου· ἄλλον ἔπαινον προστίθησι τὴν σιωπὴν αὐτῆς, ὡς ἐπισταμένης τοὺς καιροὺς τῆς ὡραίας λαλιᾶς καὶ τῆς ἐπαινετῆς σιωπῆς· ἀποδεκτὴ δέ ἐστιν ἡ σιωπὴ ἐν τῷ ἐπιστημόνως κρύπτοντι καὶ ταμιευομένῳ τὰ θειότερα, τῇ μείζονι τῶν ἀκροατῶν δυνάμεως:

ογ'. Ὡς πύργος Δαβὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος ἐν θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν· πᾶσαι αἱ βολίδες τῶν δυνατῶν:

Πᾶν τὸ παρὰ τῶν ἀξίων γινόμενον, τύπος ἐστὶ τῶν εἰς ἀρετὴν κατορθουμένων· οἷον, οἱ πόλεμοι· αἱ τῶν οἰκοδομημάτων κατασκευαί· διόπερ μοι δοκεῖ καὶ τὸν ὑπερφανῆ πύργον ἐκεῖνον ἐν ᾧ τὰ ἀκροθίνια τῶν λαφύρων ἀνέθηκεν ὁ Δαβίδ, πρὸς τὴν προκοπὴν τῆς ἐκκλησίας βλέπων, τῶν κατ' ἀρετὴν σπουδαζομένων προτυποῦσθαι τοῦτο τὸ ἔργον· τράχηλος οὖν ἐστὶ τῆς ἐκκλησίας ὁ κατὰ Παῦλον διδάσκαλος, ὃς ἐβάσταζε μετὰ τὴν κεφα-

γ' τοῦτο τῷ ἔργῳ.

λιν, εἶχε δὲ καὶ εὔηχον ἀργυρείαν κηρύττουσαν γεγωνοτέρως τὸ εὐαγγέλιον. ἀλλὰ μὲν καὶ λάρυγγα πρὸς τὴν θρεπτικὴν ἐνέργειαν, τὴν λογικήν φημι. διὰ τοὺς συνδέσμους τῆς εἰρήνης ὡς διαπαντὸς δηλῶν τὸ πᾶν σῶμα συνέσφιγγε, κλίνων μὲν τὸν τράχηλον ἐν τῷ τοῖς ταπεινοῖς συμπεριφέρεσθαι, τὸ ἀνορθοῦν πάλιν ἐν τῷ τὰ ἄνω φρονεῖν, πρὸς δὲ πλάγια περιστρέφων εὐστρόφως ἐν τῷ τὰς ποικίλας μεθόδους τοῦ βίου ἐκκλίνειν καὶ ἀσφαλίζεσθαι. ὥσπερ δὲ νοοῦμεν οἷς ἐπιπέφυκε τὰς ἐν πράξεσί τε καὶ ἐνεργητικαῖς σπουδαῖς. οἱ δὲ κρεμάμενοι θυρεοὶ διαίρετοι περὶ αὐτὸν θεωρούμενοι, τὸ μὲν τὰ τῶν θυρεῶν αἱ τῶν δυνατῶν βολίδες φόβον ἐμποιοῦσι τοῖς πολεμίοις, τὴν ἀγγελικὴν οἶμαι φρουρὰν ἐν κύκλῳ περιστοιχιζομένην δηλοῦσι. τὸ δὲ χίλιοι εἰς πλήθους ἔνδειξιν ἐνταῦθα παρελήφθη, κατὰ τὸ ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. οὕτως οὖν ὥσπερ πύργος περίβλεπτος φοβερὸς τοῖς ὑπεναντίοις, ὡς πόλις ἐπάνω ὄρους κειμένη, οἰκοδομημένος εἰς θαλπιώθ, εἰς ἐπάλξεις, εἰς ὕψη. πᾶσαι αἱ βολίδες τῶν δυνατῶν. πανοπλίαι, παρατάξεις :–

Δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι ολ'
δορκάδος, οἱ νεμόμενοι ἐν κρίνοις, ἕως
οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν
αἱ σκιαί :–

Ὡς ἐπὶ νύμφης τὸ ἡγεμονικὸν μαστοὶ ὀνομάζονται. ἔστι δὲ ὀξὺ δερκέστατον τὸ τῆς αὐτῆς ἡγεμονικόν, διὸ καὶ ὁμοίως δύο νεβροῖς δορκάδος νεμομένοις ἐν κρίνοις, ἀνθέσιν ὡραίοις τε τὸ εὐώ

λεστ. λύο δ' αὐτοὺς εἶπεν, ἵνα σημάνῃ τὰ νοητὰ ἐν τοῖς αἰσθητοῖς· νεβροὺς δέ, ἐπειδὴ νῦν σκιρτοῦντας μνώσκομεν, ὅταν δ' ἐλθῃ τὸ τέλειον καταργουμένου τοῦ μὴ πιστοῦ τὰ. διοῦδε γάρ ἐστι καὶ τὸ, ἕως οὗ διαπνεύσωσιν αἱ ἡμέραι καὶ κινηθῶσιν αἱ σκιαί· σκιὰ γάρ ἡμῶν ἐστιν ὁ βίος ἐπὶ τῆς γῆς· ἐπὰν οὖν καὶ αἱ σκιαὶ κινηθῶσιν ὁλοτελῶς εἰς ἀφανισμόν, οὐκέτι ὡς νεβροί, ἀλλ' ὡς τέλειοι νεμηθήσεται :—

Φίλωνος :—

Δύο μαστοὶ οὖ δύο διαθῆκαι αἱ τὸν λογικὸν περιέχουσαι λαὸν, καὶ τὰ ἑκάτερα καὶ πῶς ἑρμηνευόμενα· νέμονται δ' οἱ διοῦδε μαστοὶ καθάπερ οἱ κεῖνοις ἐξ ἑνὸς ἀνδρὸς, ἕως οὗ διαπνεύσῃ ἡ ἀναγάσεως ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαὶ τοῦ βίου τούτου. οἱ νεμόμενοι οὖν κεῖνοις, οἱ ποιμαίνουσι τὰ αὐτὰ. καὶ κινηθῶσιν αἱ σκιαὶ, ἢ δι' ὑποχωρήσουσιν :—

οε.

Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς τὸν βωμὸν τοῦ λιβάνου. ὅλη καλὴ εἶ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί :—

Οὗδε οἱ δύο στίχοι ἐκδοῦ ἀκόλουθα προεφθέγξαντο· ἡ σμύρνα, σύμβολον ἐστι θανάτου· ὁ λίβανος, θεότητος· πορεύσομαι οὖν φησιν ἐμαυτῷ, ὅ ἐστιν ἑκουσίως πρὸς τὸν μέλλοντα καὶ βουλόμενον θνήσκειν θάνατον. διὰ γὰρ τοῦ ὄρους τὸ μέλλοντα μυρίζεσθαι σημαίνει. μετὰ δὲ τοῦτο πορεύεται εἰς τὸν βωμὸν τοῦ λιβάνου, τουτέστι τὴν δόξαν τὴν θεοπρεπῆ ἣν εἶχεν ἀπαρχῆς· μετὰ ξύλου οὖν τοῦ ἀκαμπέως τοῦ κάλλους τὴν μορφὴν τοῦ βλάστου· ὅπερ ἡνί-

κοῦ τοῦ κάλλους ἀναδέξομαι θάνατον, ἵνα αὐτὴν καθάρω. ὁ τοίνυν συμμεταζῶν αὐτῷ τῆς σμύρνης, συμμεθέξει πάντως καὶ τοῦ λιβάνου. ὁ γὰρ συμπαθῶν, καὶ συνδοξάζεται πάντως. ὁ δ᾽ ἅπαξ ἐν τῇ θείᾳ δόξῃ γινόμενος, ὅλως γίνεται κάλλος, ἔξω τοῦ ἀντικειμένου μώμου γινόμενος. πρὸς τὸ ὄρος τῆς σμύρνης. ὄρος φησὶ τὴν σάρκα. καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου, καὶ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσι :

Δεῦρο ἀπὸ λιβάνου νύμφη, δεῦρο ἀπὸ λιβάνου. ἐλεύσῃ καὶ διελεύσῃ ἀπ᾽ ἀρχῆς πίστεως. ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών. ἀπὸ μανδρῶν λεόντων. ἀπὸ ὀρέων παρδαλέων : ος.

Μὴ στῇς ἀνιοῦσα φησίν. ἀρχὴ γάρ σοι πίστεως ὁ λίβανος οὗτος γέγονεν, οὗ μετέσχες διὰ τῆς ἀναστάσεως. ἀρχὴ δὲ τῆς ἐπὶ τὰ ὑψηλότερα πορείας. ἀπὸ τοίνυν τῆς ἀρχῆς ταύτης ἥτις ἐστὶ πίστις, ἐλεύσῃ καὶ διελεύσῃ, τουτέστι καὶ νῦν ἥξεις, καὶ εἰσαεὶ διερχομένη. διὰ τῶν τοιούτων ἀνόδων οὐκ ἀπολήξεις. ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών. διὰ τούτων δὲ ὁ τῶν ἄνωθεν γνησίως ἀποφαίνει μυστήριον, ἐντεῦθεν προχεῖσθαί φασι τὰς τοῦ Ἰορδάνου πηγάς, ὧν ὑπέρκειται τοῦτο τὸ ὄρος, δύο λοφιαῖς μεριζόμενον, αἷς ταῦτα ἐπίκειται τὰ ὀνόματα, Σανείρ τε καὶ Ἀερμών. τὸ δ᾽ ἀπὸ λεόντων καὶ παρδαλέων, ἀντὶ τοῦ, ἀπὸ διαβολικῶν θηρίων καὶ ποικίλων ἁμαρτιῶν τῶν στιγματούντων τὴν ψυχήν. καλῶς δὲ τοῦτο προστέθησιν ἵνα διὰ τῶν λυπηρῶν γνώμης ἰδιοποιήσῃ τὴν τῶν εὐφραινόντων ἀπόλαυσιν.

δεῦρο τε καλή, διὰ τοὺς ἀπὸ ἰουδαίων τε καὶ ἐθνῶν. λιβάνου δὲ νύμφην ἀπὸ τοῦ λουτροῦ λευκὴ ἀποτελουμένη. λίβανος δὲ λευκασμὸς ἑρμηνεύεται. ἐλεύσῃ οὖν φησὶν ἡ ἐξ ἐθνῶν ἐκκλησία, διελεύσεται δὲ ὁ ἰσραὴλ ἀπὸ τοῦ νόμου. δεῦρο ἀπὸ λιβάνου, φεῦγε ἀπὸ τῆς εἰδωλολατρείας. ἀπὸ κεφαλῆς σανείρ. σανείρ, βάτος. ἀερμών, φῶς μετέωρον. φησὶν οὖν ἀρχὴ πίστεως, ὁ λαλήσας διὰ μωϋσῆ ἐν τῇ βάτῳ, ὁ ποιήσας φῶς μετέωρον διὰ ἰσραὴλ ἐν στύλῳ νεφέλης :—

οζ. Ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη,
ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου,
ἐν μιᾷ ἐνθέματι τραχήλου σου :—

Διπλῆς οὔσης τῆς ψυχῆς ὀπτικῆς ἐνεργείας, καὶ τῆς μὲν τὴν ἀλήθειαν ὁρώσης, τῆς δὲ ἑτέρας περὶ τὰ μάταια πλανωμένης. ἐπειδὴ πρὸς μόνην τὸ ἀΐδιον τὴν φύσιν ἀνέῳκται τῆς νύμφης ὁ καθαρὸς ὀφθαλμός, ἀργεῖ δὲ ὁ ἕτερος, τοῦτο λέγειν διὰ ἑνὶ τῶν ὀφθαλμῶν προσάγουσιν οἱ φίλοι τὸν ἔπαινον, καὶ ἀδελφὴν μὲν ἑαυτῶν καλοῦσι διὰ τὴν τῆς ἀπαθείας συγγένειαν, νύμφην δὲ διὰ τὴν πρὸς τὸν λόγον συνάφειαν. ἐπειδὴ οὖν φασὶν ὁ ὀφθαλμός σου εἷς ἐστιν ἐν τῷ πρὸς τὸ ἓν βλέπειν, καὶ ψυχὴ μία καὶ κατάστασις διὰ τὸ μὴ πρὸς διαφόρους διαθέσεις μερίζεσθαι. καὶ ἡ θέσις τοῦ τραχήλου σου τέλειον ἔχει, τὸν θεῖον ζυγὸν ἐφ' ἑαυτῆς δεξαμένη, διὰ τοῦτο ὁμολογοῦμεν ὅτι τοῖς σοῖς ἡμᾶς θαύμασιν ἐκαρδίωσας. ἐκαρδίωσας ἡμᾶς ἀδελφή μου νύμφη. τὴν καρδίαν ἡμῶν ἔτρωσας. ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, δι' ἑνὸς τῶν ὀφθαλμῶν σου. ἐν μιᾷ θέ-

ματετραχήλου σου, δι' ἑνὸς τῶν ὁρμίσκων τοῦ τραχήλου σου :–

Ὁ νυμφίος :–

Τί ἐκαλλιώθησαν μαστοί σου ἀδελφή μου οη'
νύμφη. τί ἐκαλλιώθησαν μαστοί σου ὑπὲρ οἶνον :–

Ἐπισφραγίζει τῇ νύμφῃ ὁ νυμφίος τὸ πᾶσι τῶν ἄλλων ἐγκώμιον, καί φησιν· ὡς λίαν ἐκαλλιώθης ἐν ταῖς τῶν ἀγαθῶν διδαγμάτων πηγαῖς. οὗτοι οἱ μαστοὶ οἱ τοῦ γάλακτος φορεῖν παυσάμενοι, οἶνον καὶ οὐχὶ γάλα πηγάζουσι, δι' οὗ ταῖς τελειοτέραις καρδίαις ἡ εὐφροσύνη γίνεται, ὡραιώθησαν :–

Καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ οθ'
ἀρώματα :–

Τῶν σωματικῶν ἀρωμάτων τοῦ νόμου πρὸς τὸ ἔθος τὴν ἄλλην αὐτῆς καὶ καθαρὰν, τὴν διὰ τῶν ἀρετῶν μυρεψουμένην εὐωδίαν, τοῖς εὐαγγελικοῖς ἐπιτάγμασι. καὶ ὀσμὴ ἱματίων σου, ἤτοι μύρων :–

Κηρίον ἀποστάζουσι χείλη σου νύμφη :– π'

Χείλη οἱ διδάσκαλοι. κηρία γὰρ μέλιτος, λόγοι καλοί, γλυκασμοί :–

Μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου :– πα'

Καὶ παρεσκεύασταί σοι φησὶν ὁ λόγος καταλλήλως πρὸς τὴν τῶν δεχομένων δύναμιν, ὡς καὶ τοῖς τελειοτέροις καὶ τοῖς νηπιάζουσιν οἰκείως ἔχων. ἢ μέλι τὸ εὐαγγέλιον, γάλα ὁ νόμος. μέλι καὶ γάλα, ἤτοι γλυκύτης :–

Καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. πβ'
κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη :–

Ἡ τῶν ἀρετῶν σου περιβολὴ τὴν θείαν μιμεῖται κατασκευάσματα,

ὁ γὰρ λίβανος ἀνάκειται εἰς τὴν τοῦ θείου ἱερόν :–

πγ´ **Κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη :–**

Κῆπος διὰ τὸ παντοῖα φέρειν καρπὸν τοῦ πνεύματος, κεκλεισμένος δὲ τῷ ὀχυρῷ τῷ τῶν ἀρετῶν περιφράγματι. ἀλλὰ τῷ κήπῳ τούτῳ καὶ πηγῆς ἐστι χρεία, ὡς ἂν εὐθαλὲς διαμένει τὸ ἄλσος, διὰ τοῦτο συνέζευξεν ἐν τοῖς ἐπαίνοις τὴν πηγὴν τῷ κήπῳ. τὸν δὲ περὶ τῆς πηγῆς λόγον ἡ παροιμία διδάσκει ἡμᾶς δι᾽ αἰνιγμάτων, ἐν οἷς φησιν ὅτι ἡ πηγὴ τοῦ σοῦ ὕδατος ἔστω σοι ἰδία, καὶ μηδεὶς ἀλλότριος μετεχέτω σοι. τὸ γὰρ εἰπεῖν ἐσφραγισμένη, τοῦτ᾽ ἐστι τὸ εἰπεῖν πεφυλαγμένη. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι. πηγή, ἡ διανοητικὴ τῆς ψυχῆς ἡμῶν δύναμις ἡ παντοίους λογισμοὺς ἐν ἡμῖν βρύουσα. ἀλλὰ τότε ἡμέτερον γίνεται τῆς διανοίας τὸ κίνημα, ὅταν πρὸς τὰ συμφέροντα ἡμῖν κινεῖται, πᾶσαν συνεργίαν ἡμῖν πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν παρεχόμενον. ὅταν δέ τις στρέψῃ τοῦ λογισμοῦ τὴν ἐνέργειαν πρὸς κακίας ἐπίνοιαν, τότε τοῖς ἀλλοτρίοις ἀφυλάκτως ἐκδαπανᾶται τὸ ῥεῖθρον, ὡς εὐτροφεῖν μὲν τὸν ἀκανθώδη βίον, ἀποξηραίνεσθαι δὲ καὶ μαραίνεσθαι τὴν κρείττω φυτείαν, μηδεμιᾶς τῆς τῶν ἀγαθῶν λογισμῶν ἰκμάδος ὑποτρεφούσης τὴν ῥίζαν. πηγὴ ἐσφραγισμένη, τῇ ἐπὶ τοῦ λογισμοῦ σφραγίδι :–

πδ´ **Ἀ**ποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων. κύπροι μετὰ νάρδων. νάρδος καὶ κρόκος. κάλαμος καὶ κιννάμωμον μετὰ πάντων ξύλων τοῦ λιβάνου. σμύρνα, ἀλόη, μετὰ πάντων

πρώτων μύρων. πηγὴ κήπων, φρέαρ
ὕδατος ζῶντος, καὶ ῥοιζοῦντος ἀπὸ-
λιβάνου :—

Ἔοικεν ἅπας ὁ τῶν ἐγκωμίων κατάλογος, ὁ τῇ περὶ τούτων εἰ-
ρημένος, τὸ οἰκοῦ περὶ αὐτῆς, μὴ πρὸς εὐφημίαν ψιλὴν
κατὰ τὸ προηγούμενον βλέπειν, ἀλλὰ δύναμιν ἐντιθέναι
διὰ τῶν λεγομένων, πρὸς τὴν ἐπὶ τὰ μείζω καὶ ὑψηλότερα
τῆς καρδίας ἀναβαίνων. νῦν οὖν τὰς ἀποστολὰς τῆς νύμ-
φης καταλέγει, οἱονεὶ τὴν προῖκα ἤτοι τὰς δωρεὰς ἃς προ-
σενέγκας. καὶ ταύτας τὰς ἀποστολικὰς ὁμολογεῖ ὁ νυμφίος
παρειληφέναι, διδάσκων ἡμᾶς ὃ λέγει πρὸς φέρειν αὐτῷ
πλοῦτον εὐωδίας, ὧν τὸν παράδεισον τῶν ψυχῶν ἡμῶν
πεπληρῶσθαι καλῶν, διὰ τοῦτο ὁ παῦλος ἔλεγε χριστοῦ εὐωδία
ἐσμέν. ἐπειδὴ δὲ ὁ δίκαιος ἐν ταῖς πικραῖς περιστάσεσι τοῦ
βίου μάλιστα καρποφορεῖ, τὸ ἐστὶν αὐτῷ ἐν ταύταις τὸ γλυκὺ
καὶ τερπνόν, ὥσπερ ἡ ῥόα ἔνδον ἔχουσα τὸ εὐώδιμον,
διὰ τοῦτο ὁ παράδεισος ἑαυτῆς πλήρης λέγεται εἶναι ῥοῶν.
ὅταν οὖν ὁ καιρὸς ἐπιστῇ τῆς τῶν καρπῶν ἀπολαύσεως, παγ-
καρπία τῆς τρυφῆς ἐκ παντὸς γένους τῶν φυτῶν ἡ ῥόα γί-
νεται, ἢ ὅπη γε ἔδιμος εἰς πόσιν παντὶ τῷ αἰτοῦντι λόγον.
τὸ δὲ φρέαρ δηλοῖ τὸ βάθος τοῦ πλούτου. αὕτη δὲ ἡ πηγὴ καὶ
τὸ ζωτικὸν φρέαρ, ἀπὸ τοῦ λιβάνου, τουτέστι θεόθεν εἰς αὐτήν,
ὀξὺ καθέλκει τὸ ῥεῖθρον. ἀποστολαί σου παράδεισος ῥοῶν.
ἀπὸ στόματός σου. οἱ ἀπόστολοί σου παράδεισος ἔγκαρπος,
μετὰ καρποῦ ἀκροδρύων. εἶδος φυτοῦ ὀπωρῶν. κύπροι μετὰ

νάρδων· τὸ μὲν θερμόν, τὸ δ' εὐῶδες· συμμαρτυρεῖσθαι γὰρ λέγει τῷ θερμῷ διὰ τῆς εὐπνοίας, τὸ δ' εὐῶδες διὰ τὴν καθαρότητα, ἵνα γένηται ἐς τῷ ἄλλῳ τινὶ ζῶον· νάρδος καὶ κρόκος· πίστις μετὰ ἀσκήσεως διὰ τὸ ὕπογρον τοῦ κρόκου· ὁ κρόκος παρηγορητικὴ καὶ ἔχει τῶν ὀδυνῶν τὴν δύναμιν· κάλαμος καὶ κινάμωμον· εἴδη ἀρωμάτων· ὁ δὲ κάλαμος, καὶ πρὸς τὸ ἱερατικὸν θυμίαμα ὑπὸ τοῦ νόμου παραλαμβάνεται· σμύρνα ἀλόη· διὰ τούτων τὴν τῆς ταφῆς κοινωνίαν ἐνδείκνυται τοῦ Χριστοῦ:

πέ. Ἐξεγέρθητι βορρᾶ, καὶ ἔρχου νότε, διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματα:

Φυγαδεύει κατ' ἐξουσίαν τῆς ἰδίας ἀρχῆς τὸν βορρᾶ, ψυχρόν τε καὶ ζοφῶδες καὶ χειμέριον πνεῦμα τῆς πονηρίας. ἐκ τῶν παθῶν ἀναδυσαμένη τὸ κράτος, προσκαλεῖται δὲ τὸ μεσημβρινὸν πνεῦμα τὸ θερμόν τε καὶ ἀειφεγγές, ὅπερ ὀνομάζει νότον, δι' οὗ ὁ χείμαρρος τῆς τρυφῆς ἐστι, ὥστε τῇ βιαίᾳ ἀποπνοῇ καθὼς ἐν τῷ ὑπερῴῳ γεγένηται τοῖς μαθηταῖς ἀκούσασι, τοῖς ἐμψύχοις φυτοῖς ἐμπίπτουσα κινεῖται τὴν τοῦ θεοῦ φυτείαν πρὸς τὴν τῶν ἀρωμάτων φορὰν, τουτέστι παρασκευάζει διὰ τοῦ στόματος τὴν εὐώδη προφητείαν καὶ τὰ σωτήρια δόγματα. ἢ οὕτως· ὅτι ὁ βορρᾶς τοῦ διαθέρμου ἀγάπης τοὺς πόρους ἀποκλείων, οὐκ ἐᾷ διαπνεῖν τὰ ἀρώματα, τουτέστι τὰς ἀρετάς· ὁ δὲ νότος ἀναστομοῖ τὰς φλέβας τῆς ψυχῆς διαφορεῖ τὰ ἀρώματα, διὸ ἐρεῖ τῷ βορρᾷ, ἄγε,

καὶ τὸν λίβα μὴ κωλύειν τοῦ δ' αὐτὰ μεληθῆναι πρὸς ἡμᾶς, ἵνα πάντων διὰ τοῦ ἁγίου πυρὸς τῆς καθάρσεως εἰς τὴν ἀνατολὴν τοῦ λόγου προκατέχωνται. ἐξεγέρθητι βορρᾶ καὶ ἔρχου νότε. ὅτι ἐξωθουμένου τοῦ διαβόλου ἀπὸ τῆς ψυχῆς ἐμβιβάζεται ὅλης, πνεῦ-εἴρηται, ὅθεν ἐκ θερμοῦ ἥκει, ὅ ἐστιν ἀπὸ νότου:

Καταβήτω ἀδελφιδός μου εἰς κῆπον πγ.
αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ:

Ὢ πεπαρρησιασμένης φωνῆς. ἵνα δεξιοῦται πρὸς εὐωχίαν τοῖς ἰδίοις καρποῖς, τοῖς πᾶσι τοῖς οὖσι τὴν τροφὴν ἐκ τῶν ἰδίων ἀεὶ πηγῆς ἐπιρρέοντα. τοῦτο ἡ νύμφη προστίθησι τράπεζαν. κῆπος δ' ἐστὶν ἡ τράπεζα ὁ διὰ τῶν ἐμψύχων δένδρων πεφυτευμένος, ἡμεῖς δὲ τὰ δένδρα, εἰ τροφὴ καὶ ἡμεῖς οἱ τροφὴν αὐτῷ προτιθέντες τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν, οὕτω εἰπόντος τοῦ τὴν ἡμετέραν εὐωχουμένου ζωήν, ὅτι ἐμὸν βρῶμα ἐστὶν ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. αὕτη οὖν ἡ ἑτοιμασθεῖσα βρῶσις αὐτῷ, τὸ σωθῆναι ἡμᾶς. καρπὸς δ' ἡμῶν ἡ προαίρεσις γίνεται τοῦ δρεπομένου ἡμᾶς θεοῦ δι' ἑαυτῆς, ὡς δι' ἀκλινοῦς ἀκρεμόνος τὴν ψυχὴν ἐγχειρίζουσα. τὸ δὲ καταβήτω, εὐκτικῶς εἴρηται:

Ἀθανασίου:

Πνεῦσόν μοι, ὦ λόγε καὶ διδάξομαι τὰ λόγιά σου, καὶ τὰ προστάγματά σου καταγράψω ἐπὶ τὸ πλάτος τῆς καρδίας μου, ἕτοιμος γέγονα λοιπόν, δυνάμει τῇ σῇ χάριτι βοηθουμένη καὶ κυβερνωμένη τῇ ἀοράτῳ σου καὶ παντοδυνάμῳ χειρί· καλλίστων ἀκοῦσαι θείων, τὸ μυστηρίων μετ' ἔρωτος ἠκέναι:

πδ' Εἰσῆλθον εἰς κῆπόν μου ἀδελφή μου νύμφη· ἐτρύγησα σμύρναν μου μετὰ ἀρωμάτων μου· ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου· ἔπιον οἶνόν μου μετὰ γάλακτός μου:

Ὁ εἰπὼν διὰ τοῦ προφήτου ἔτι σου λαλοῦντος ἐρῶ, ἰδοὺ πάρειμι· πρὶν ἐξελθεῖν τὴν εὐχὴν τῆς νύμφης ἤκουσεν ὧν ἐδεήθη, καὶ ἐν τῷ κήπῳ παραγίνεται, καὶ τῶν τῆς ἀρετῆς ἀκροδρύων ἐνεφορήθη, καὶ δεῖγμα τὴν εὐωχίαν πεποίηται, παρ' αὐτοῦ δ' εἴ τι καλὸν ὁ προφητικὸς ὑμνήσει λόγος. ὦ μακαρίων κήπων ἐκείνων, ὧν τὰ φυτὰ τοιούτοις βρύειν καρποῖς μεμαρτύρηται. πάντως δ' οὐκ ἀγνοοῦμεν τὰ τῶν λεγομένων αἰνίγματα. πῶς δένδρον τὸ σμυρνηφόρον ὁ Παῦλος, ὁ καθημέραν ἀποθνήσκων τῇ τῶν μελῶν νεκρώσει, καὶ διὰ καθαρότητός τε καὶ ἀπαθείας ἀρωματίζων, καὶ ὀσμὴ ζωῆς τοῖς σωζομένοις γινόμενος. πῶς σιτοποιεῖ τῷ θεῷ τὰ ἔμψυχα τοῦ κήπου φυτά, οἷς μαρτυρεῖ ὁ ἐπὶ θρόνου καθήμενος, ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν. ἄρτος γὰρ εὐφροσύνης ἐστὶν ἡ εὐποιΐα, τῷ μέλιτι τῆς εὐχῆς γλυκαινόμενος. πῶς δὲ πάλιν οἰνοχοεῖ τῷ νυμφίῳ τὰ εὐεργητικὰ τοῦ κήπου φυτά, πρὸς οὓς τοῦτό φησιν, ὅτι ἐδίψησα καὶ ἐποτίσατέ με. γαλακτικὸν οἶνον κεράσαντες, οὐχὶ ὕδατος κατὰ τὴν τῶν καπήλων συνήθειαν. τὸ δὲ γάλα ἡ πρώτη τῆς ἀνθρωπίνης φύσεως ἐστὶ τροφή, ἡ καθαρά τε καὶ ἁπλῆ, καὶ οὕτως νηπιώδης καὶ ἄδολος:

Οἱ φίλοι :–

Φάγετε οἱ πλησίον καὶ πίετε, καὶ μεθύσθητε ἀδελφοί :– πη'

Ταῦτα εἰπὼν πρὸς τὴν νύμφην ὁ λόγος, προσκαλεῖται τοὺς πλησίον διὰ τῶν ἀρετῶν γενομένους, τὰ τοῦ εὐαγγελίου μυστήρια λέγων, φάγετε οἱ πλησίον καὶ πίετε, καὶ μεθύσθητε ἐκ τούτων τῆς βρώσεώς τε καὶ πόσεως. θεία δ' αὕτη καὶ νηφάλιος ἡ μέθη, δι' ἧς ἐξίσταταί τις αὐτὸς ἑαυτοῦ πρὸς τὰ θειότερα. καλῶς δὲ τοὺς ἀξίους τῆς βρώσεως ἀδελφοὺς προσηγόρευσεν. ὁ γὰρ ποιῶν τὰ θελήματα αὐτοῦ, ἀδελφὸς αὐτοῦ καὶ ἀδελφὴ καὶ μήτηρ κατονομάζεται :–

Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ :– πθ'

Φίλωνος :–

Ἐφ' ὧν γὰρ ὁ νοῦς ἐφ' ἑαυτῷ βιωτεύει, μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντος ἐνευφραινόμενος, οὐδενὶ τῶν αἰσθητικῶν προσενοχλούμενος ἢ καθελκόμενος, ὡς ὕπνῳ τινὶ πάρετος ἡ τοῦ σώματος γίνεται φύσις, πάσης σαρκικῆς κατακοιμηθείσης κινήσεως. διπλῆς γὰρ οὔσης τῆς ἀνθρωπίνης φύσεως τῆς δ' ἀρετῆς, τῆς μὲν ἐν ψυχῇ δι' ἀπαθείας ἐνεργουμένης, τῆς δὲ διὰ πάθους ἐν σώματι, ἥνπερ ἂν ἐξ ἀμφοτέρων ἡ προαίρεσις ἕληται, αὕτη κατὰ τῆς ἑτέρας τὸ κράτος ἔχει. ἀκολούθως τοίνυν διαστέλλεται τὴν μέθην τῆς νύμφης οὕτως :–

Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν :– ϙ'

Τοῦ αὐτοῦ :–

Ἀνάστας γὰρ ἐπέστη τοῖς μαθηταῖς τῶν θυρῶν κεκλεισμένων, ἢ εἰς τοσοῦτον ὕψος ἐλάσασα· ἣ ἐμαρτύρησεν ὁ λόγος ἤδη

τὸ τέλειον, αὕτη νῦν οὕτω διάκειται ὡς πρῶτον μέλλουσα δέχεσθαι τοῦ θεοῦ τὴν ἐμφάνειαν. ἔγνω μὲν γὰρ αὐτὸν ἐν τοῖς φθάσασιν ἡ ψυχὴ τοσοῦτον ὅσον κατέλαβεν. ἀλλ᾽ ἐπειδὴ τὸ μήπω καταληφθὲν ἀπειροπλάσιον τοῦ καταληφθέντος ἐστί, διὰ τοῦτο καὶ ὤφθη πολλάκις τῇ ψυχῇ ὁ νυμφίος, καὶ ὡς μηδέπω ἐν ὀφθαλμοῖς γινόμενος, ὀφθήσεσθαι διὰ τῆς φωνῆς ἀπαγγέλλεται, οὐ χεῖρον καὶ νῦν ὡς ἔτι θυροκρουστοῦντος τοῦ λόγου αἰσθάνεται, καὶ πρὸς τὴν ὑπακοὴν διανίσταται καί φησι. Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν. εἶτα ἡσυχίαν ταῖς ἀκοαῖς ἐνδοῦσα, ἀκούει τοῦ διὰ τῆς φωνῆς προσαγγέλλοντος λόγου :–

ϟϛʹ Ἄνοιξόν μοι ἀδελφή μου πλησίον μου, περιστερά μου τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός :–

Ἀπὸ τοῦ βάτου τῷ μεγάλῳ Μωσεῖ διὰ φωτὸς ἤρξατο ἡ τοῦ θεοῦ ἐμφάνεια ἐπὶ τῆς γῆς. μετὰ ταῦτα διὰ νεφέλης αὐτῷ ἐπαγγέλλεται καὶ διαλέγεται. εἶτα ὑψηλότερος ἤδη γινόμενος, ἐν γνόφῳ τὸν θεὸν βλέπει. οὕτω δή πως ἡ νύμφη. ἡ μὲν γὰρ ποτὲ μέλαινα τοῖς ἀφωτίστοις δόγμασιν, ὡς διὰ τοῦ μυστικοῦ ἐκείνου φιλήματος τῇ πηγῇ τοῦ φωτὸς προσάγειν τὸ στόμα ἐποίησε, τότε καλὴ γίνεται ἐν τῷ φωτὶ τῆς ἀληθείας περιλαμφθεῖσα, καὶ τὸ μέλαν τῆς ἀγνοίας ἀποκλυσαμένη ἐν τῷ ὕδατι. εἶτα τὸ μεῖζον αὐτὴ οἷά τις νεφέλη γίνεται, τὸ φαινόμενον ἅπαν ἐπισκιάζουσα, πρὸς δὲ τὸ κρύφιον βλέπει τὴν ψυχὴν ἔχουσα

τωρύτα καὶ ζωοποιοῦντα· νῦν γὰρ ἤδη ὑπὸ τῆς θείας γνώσεως
περιέρχεται, καθὼς ὁ ὑμνῳδὸς παραμένεται, οὐ φαίνεται δέ,
ἀλλ' αἰσθητικήν τινα δίδωσι τῇ ψυχῇ τῆς παρουσίας. ἀπέχεται οὖν
τῆς θέας ὁλοσχερῶς. θυρανοίγουσι μὲν τὴν ὁλοκληρικὴν τῶν ἀρρή-
των διάνοιαν, δι' ἧς εἰσοικίζεται τὸ ζητούμενον. ἔξω εἶναι
ἔσωθεν τῆς φύσεως ἡμῶν ἡ ἀλήθεια διὰ τῆς ἐκ μέρους γνώ-
σεως καθά φησιν ὁ ἀπόστολος, ἐν ὑπονοίαις τισὶ καὶ αἰνίγμα-
σι θυροκρουστεῖ τὴν διάνοιαν, ἄνοιξον λέγουσα· ἄνοιξόν μοι
φησὶν ἀδελφή γενομένη μοι πλησίον ἀκριβῶς, ἡ περιστερά
καὶ τελεία. τοῦτο δέ ἐστι τὸ ἀνελλιπὲς καὶ πεπληρωμένον
πάσης ἀκακίας τὸ καθαρὸν ὅλως. ἔσται δέ μοι τὸ κέρδος ἐκ τοῦ
εἰς δέξασθαί με ἡ ἐκ τῆς κεφαλῆς μου δρόσος, ὅ ἐστιν ἅπαντες
κατὰ τοὺς προφητικοὺς λόγους. αἱ δὲ τῆς νυκτὸς ψεκάδες, τῆς ποθε-
ωρηθείσης ἐξ αὐτοῦ διανοίας. οὐ γάρ ἐστι δυνατὸν ἐν τοῖς τῶν ἀδύ-
των γενόμενον ὄμβρῳ περὶ τῆς γνώσεως ἐνδυγεῖν, ἀλλὰ λε-
πταῖς τισὶ καὶ ἀμυδραῖς διανοίαις ἐπιψεκάζεται. βοστρύ-
χους δὲ οἶμαι τῆς κεφαλῆς ἐξηρτημένους, προφήτας καὶ εὐαγ-
γελιστὰς καὶ ἀποστόλους, οἵτινες ἡμῖν εἰσι, ποταμοὶ γίνονται πλή-
ρεις ὑδάτων, ὡς δὲ πρὸς τὴν ὄντως ἀλήθειαν δροσοβόλεις εἰσὶ
ψεκάδες. ἄνοιξόν μοι ἀδελφή μου. ἡ ψυχὴ τοῦ θεωρεῖ δέξαι
τῆς πληροφορίας τὸν λόγον. περιστερά μου τελεία μου ἡ ἀκέ-
ραιά μου. περιστερὰ διὰ τὴν ἀκακίαν, τελεία διὰ τὴν ἐπί-
γνωσιν, ὥς φησιν ὁ πατήρ μου καὶ ὁ θεός μου. ὅτι ἡ κεφαλή μου
ἐπλήσθη δρόσου. περὶ τὸν ὄρθρον γὰρ ἀνέστη. καὶ οἱ βόστρυχοί
μου ψεκάδων νυκτός. ἐνταῦθα ὑποφαίνει τοὺς πειρασμοὺς

οὓς ὑπέμεινεν ὑπὸ τῆς ζωαγωγῆς ὁ λόγος, περὶ εἰσελθεῖν εἰς τὴν νύμφην τὴν ἐκκλησίαν. ὥσπερ γὰρ ἐστὶν ὑετὸς λάβρος καὶ ἀνωφελὴς κατὰ τὸν χειμασμόν, ἡ δὲ δρόσος ψυκτικὴ καὶ μάλιστα προσκειμένου τῆς νυκτός, ἀναπαύει οὕτω καὶ ἡ ἐκκλησία τὸν λόγον:

ξε′ Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν. ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς·

Ὁ τὸν παλαιὸν ἄνθρωπον ἀπεκδυσάμενος, ὅ ἐστιν ἡ ἁμαρτία καὶ ὁ θάνατος, τὸ περιελὼν τῆς καρδίας τὸ κάλυμμα διὰ τοῦ βαπτίσματος, τὸ δὲ ῥύπου τῶν βάσεων τῆς ψυχῆς ἀποκλυσάμενος, ἤνοιξε τῷ λόγῳ τὴν εἴσοδον, οὗ ἐντὸς γενομένου, ἔνδυμα ποιεῖται ἑαυτῆς ἡ ψυχὴ κατὰ τὴν τοῦ ἀποστόλου ὑφήγησιν. οὕτως οὖν ἡ θύρα τῷ λόγῳ παρὰ τῆς νύμφης ἀνοίγεται. ἡ γὰρ ὁμολογία τοῦ μηκέτι ἀναλαβεῖν τὸν ἀποβληθέντα χιτῶνα, μηδὲ τὴν πορεία τοῦ βίου πάλιν τῷ γεώδει μολυσμῷ παραδέξασθαι, εἴσοδος γίνεται τοῦ ἁγιασμοῦ ἐπὶ τὴν οὕτω παρεσκευασμένην ψυχήν:

ξϛ′ Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν:

Ἡ νύμφη διηγεῖται ταῖς νεάνισι. πάλιν τῆς ὑπερκειμένης ἀναβάσεως ἅπτεται ἡ καθαρὰ ψυχή, τοῦ μηκέτι τοῦ γηΐνου τε ὑλικοῦ βίου ἐπιβαδιζούσης, μηκέτι φωνῆς τὴν καρδίαν αὐτῆς κρουούσης, ἀλλ' αὐτῆς τῆς θείας χειρὸς διὰ τῆς ὀπῆς τῷ

τὰ ἐντὸς παραδυείσης· ἤνοιγε τοίνυν τῆς ψυχῆς ἡ πύλη ἵνα
εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης. ἀλλ' ἡ τῆς πύλης εὐρυχωρία
μικρὰ ἐς ἀνεδείχθη τὰ ταμιεία, δι' αὐτῆς οὐκ αὐτὸς ὁ νυμφί-
ος, ἀλλ' ἡ χεὶρ αὐτοῦ μόνη ἐχώρησεν. ἡ δὲ τοῦτον ἐκδεχομένη
μόνον, ὅτι γινώσκουσα ὅτι ἡ χεὶρ ἐκείνη τοῦ ποθουμένου ἐστί· κι-
νεῖται ἡ ἐνεργητικὴ αὐτοῦ δύναμις· ἡ οὖν τὰ θεῖα διερευ-
νωμένη ψυχή, ἐπειδὰν ἐκ τῶν κάτωθεν πρὸς τὴν τῶν ὑπερκει-
μένων γνῶσιν ἑαυτὴν ἀνατείνῃ, τὰ τῆς ἐνεργείας αὐτοῦ θαυ-
ματα καταλαβοῦσα, περαιτέρω προελθεῖν διὰ τὸ πολυπρα-
γμοσύνης οὐ βούλεται, ἀλλὰ θαυμάζει καὶ σέβεται τὸν ὅτι
ἐστὶ μόνον διὰ τῶν ἐνεργειῶν γινωσκόμενον. Καὶ ἡ κοιλία μου
ἐθροήθη ἐπ' αὐτόν· πᾶσα γὰρ αὐτῆς ἡ διανοητικὴ δύναμις
συγκεκινήθη πρὸς τὸ θαῦμα τῶν διὰ τῆς χειρὸς ἐνεργουμέ-
νων. ἢ καὶ οὕτως· τὴν εὐαγγελικὴν χάριν ἀναφωνεῖ διὰ
τῶν λόγων τούτων ἡ νύμφη, θρόησιν ἐμποιοῦσα καὶ θροη-
σμὸν τῆς ψυχῆς, πῶς ὁ θεὸς ἐν σαρκὶ φανεροῦται· πῶς ἐν
παρθενίᾳ τόκος· πῶς χωρεῖ ἡ βραχεῖα τοῦ βίου ταμιεία
τὴν περιεκτικὴν πάντων τῶν ὅλων χεῖρα ἐν ἑαυτῇ δέξασθαι·
χεῖρα ἀπὸ τῆς ὀπῆς. οὕτως ἔλεγε τῷ Θωμᾷ, βάλλε τὸν δά-
κτυλόν σου εἰς τὸν τύπον τῶν ἥλων:-

Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου, χεῖ- ξα΄
ρές μου ἔσταξαν σμύρναν, δάκτυλοί μου
σμύρναν πλήρη:-

Οἱ κατακερματιζόμενοι τῶν πράξεων, ἔλαβον φησὶ δύναμιν
ἀναστάσεως διὰ τοῦ νεκρῶσαί μου τὰ μέλη τὰ ἐπὶ τῆς γῆς.

ἐκ οὐσίας μου τῷ ἀπὸ τῶν τοιούτων μελῶν ἐνεργηθείσης νεκρώσεως, οὐ γὰρ ὑπ᾽ ἄλλου ταῖς χερσὶν ἐνεχθείσης τῆς σμύρνης, ἀλλ᾽ ἐκ τῆς ἐμῆς προαιρέσεως ἀπορρεούσης, ὡς καὶ πᾶσι τοῖς κατ᾽ ἀρετὴν εἴδεσιν, ἀπὸ δακτύλους ὀνόμασεν. ἀνελλιπεῖ τὴν τοιαύτην δέχεσθαι διάθεσιν. ἔστι γὰρ ἐπὶ τῶν ἀτελῶς τὴν ἀρετὴν μετιόντων ἰδεῖν, ἐν μὲν αὐτοῖς τεθνηκότας τῷ πάθει, ἐν ἑτέροις δὲ ζῶντας καθυπορῶμεν τινάς, νεκροῦντας μὲν τὸ ἀκόλαστον ἐν ἑαυτοῖς ἂν οὕτω τύχοι, τρέφοντας δὲ τὸν τῦφον ἢ ἕτερόν τι πάθος τὸ τὴν ψυχὴν λυμαινόμενον. ὥσπερ οὖν τὸ ἀποθανεῖν τὴν ἀληθινὴν ζωὴν ὁ αὐτὸς εἰς τὸν νεκρὸν τοῦτον μετέπεσε βίον, οὕτως ὅταν ἀποθάνῃ τῇ νεκρᾷ ταύτῃ καὶ κινώδει ζωῇ, πρὸς τὴν ἀεὶ ζῶσαν αὐτὴ μεθίσταται:

ιε.

Ἐπὶ θύρας τοῦ κλείθρου μου. ἤνοιξα ἐγὼ τῷ ἀδελφιδῷ μου:

Φίλωνος.

Ἔγνων δέ τι τὸ ταφὲν σῶμα αὐτὸ ἀνέστη, διὰ τῆς προφάσεως τοῦ θωμᾶ ἀπιστίας πᾶσι πρόδηλος γέγονεν ἡ τοῦ κυρίου ἀνάστασις. ἡ πλήρης γινομένη τοῦ συμβόλου τῆς σμύρνης ψυχὴ ἅπτεσθαι τὰς χεῖρας ἑαυτῆς τοῦ κλείθρου, τουτέστι τὰ ἔργα αὐτῆς ἐπιδεῖξαι τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ, οἷς τὸ κλεῖθρον ἐγχειρίζει τοῖς καθαρωτέροις λόγοις. ἀνοίγει τοίνυν δι᾽ ἐκείνων ἑαυτῇ τῆς βασιλείας τὴν θύραν. διὰ μὲν τῶν χειρῶν δι᾽ ὧν τὰ ἔργα δηλοῦται, καὶ διὰ τοῦ κλείθρου τῆς πίστεως, δι᾽ ἀμφοτέρων γὰρ τούτων ἡ κλεὶς τῆς βασιλείας ἐν ἡμῖν ὑπὸ τοῦ λόγου κατασκευάζεται:

:— :— :—

Ἀδελφιδός μου παρῆλθεν, ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ :- ϛ'

Ἐκ τοῦ ἀέρος διὰ τοῦ κόσμου εἰς οὐρανούς :-

Φίλωνος :-

Ὅτε ἤλπισε κατὰ τὸ μυστήριον γνῶναι ἐμφανίσεσθαι αὐτῇ τὸ ποθούμενον πρόσωπον, τότε παρῆλθε τὴν κατάληψιν ὁ ζητούμενος, φησὶ γὰρ ὅτι ἀδελφιδός μου παρῆλθεν. οὐ καταλιπὼν τὴν ἑπομένην αὐτῷ ψυχήν, ἀλλὰ πρὸς ἑαυτὸν ἐφελκόμενος. ἡ ψυχή μου γάρ φησιν ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ. ἡ γὰρ ἀπὸ τοῦ ἐν ᾧ ἐσμὲν ἔξοδος, τῶν ὑπερκειμένων ἀγαθῶν εἴσοδος γίνεται :-

Ἐζήτησα αὐτόν, καὶ οὐχ εὗρον αὐτόν. ϛ'
ἐκάλεσα αὐτόν, καὶ οὐχ ὑπήκουσέ μου :-

Φίλωνος :-

Ἐξέρχεται γὰρ ἡ ψυχὴ καὶ οἷον ἐκδημεῖ ἐκ τοῦ σώματος διὰ τὸν τοῦ νυμφίου λόγον, ἔχουσα τὸ πολίτευμα ἐν οὐρανῷ. πῶς γὰρ ἂν εὑρεθείη ὃ μηνύει τῶν εὑρεθέντων οὐδέν. οὐκ εἶδος. οὐ χρῶμα. οὐ περιγραφή. οὐκ ἄλλο τι τῶν πάντων. ἐγὼ οὖν φησιν ἐκάλουν ὡς ἠδυνάμην, ἐπινοοῦσα φωνὰς ἐνδεικτικὰς τῆς ἀφράστου μακαριότητος, ὁ δὲ κρείττων ἦν πάσης τῶν σημαινομένων ἐνδείξεως :-

Εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες ἐν ζ'
τῇ πόλει. ἐπάταξάν με. ἐτραυμάτισάν με.
ἦραν τὸ θέριστρόν μου ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων :- Φίλωνος.

Προφῆται καὶ ἀπόστολοι. οἱ ἐπὶ τῶν τειχέων τοῦ ἰλῆς κατὰ

σιν τὰ φύλακας· ἐπάταξάν με· ἐτραυμάτισάν με· ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων, οἱ ἐκ προγόνων τὰ εἴδωλα φυλάσσειν παρειληφότες. ὅταν γὰρ ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖ τὸ κάλυμμα τῆς ἀγνωσίας, ὡς λοιπὸν ἀνακεκαλυμμένῳ προσώπῳ θεωρεῖσθαι τὸν θεόν. ἡ ὑπὸ τῶν φυλάκων εὑρεθεῖσα ψυχή, ὑπὸ ληστῶν κλαπῆναι οὐ δύναται. τίνες οὖν οἱ φύλακες, τάχα τὰ λειτουργικὰ πνεύματα, οἱ φρουροῦντες τὴν πόλιν· πόλις δὲ ἡ ψυχή, τὸ τοῦ θεοῦ οἰκητήριον. ἡ δὲ εἰποῦσα ὅτι οἱ φύλακές με ἐτραυμάτισαν, προστίθησι τὸ να γεννηθῆναι αὐτὴν τῆς ἐπὶ τῇ ἄνω προκοπῆς ἐκαυχήσατο. ἡ γὰρ θεία ῥάβδος ἡ διὰ τοῦ πατάσσειν ἐμπαρέχουσα τὴν ἴασιν, τὸ πνεῦμά ἐστιν, οὗ ὁ καρπὸς τά τε ἄλλα τῶν ἀγαθῶν, καὶ ἡ παιδαγωγὸς τῆς ἐν ἀρετῇ πολιτείας ἐγκράτεια. οὕτω γὰρ καὶ Παῦλος ὁ τῶν τοιούτων πληγῶν στιγματίας, τοῖς τραύμασι τούτοις ἐπαγαλλόμενος ἔλεγεν, ὅτι τὰ στίγματα τοῦ κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου περιφέρω, δεικνὺς τὴν ἐν παντὶ κακῷ ἀσθένειαν, δι' ἧς ἡ κατὰ Χριστὸν δύναμις ἐν ἀρετῇ τελειοῦται. καλὸν οὖν καὶ τὸ τραῦμα δι' οὗ γίνεται αὐτῇ ἡ τοῦ θεριστρου περιαίρεσις, ὥστε ἀνακαλυφθῆναι τὸ τῆς ψυχῆς κάλλος, μηκέτι ἐπισκοτούμενον τοῖς ἐπιβλήμασι. πῶς δὲ ἡ ἀπεκδυσαμένη τὸν παλαιὸν χιτῶνα καὶ πάσης περιβολῆς καθαρεύουσα ἐπὶ τὸ θέριστρον τρέχει, ὅπερ νῦν αὐτὴν ἀφαιροῦνται οἱ τειχῶν φύλακες οἱ ἐπιτηροῦντες τὰς τῆς ἀγνῆς ψυχῆς διόδους ἀπὸ τοῦ κόσμου. ἢ δηλονότι τοσοῦτον ἑαυτῆς γίνεται καθαρωτέρα, ὡς συγκρίσει τῆς

νοῦ καθαρότητος, μὴ δοκεῖν πρώην ἀποδεδύσθαι τὸ περιβόλαιον, ἀλλ' εὑρεῖν τε πάλιν μετὰ τὴν γύμνωσιν ἐκείνην περὶ ἑαυτὴν ὃ ἀπεθήκατο. οὕτως ἡ πρὸς τὸ θεῖον ἄνοδος, τοῦ ἀεὶ εὑρισκομένου τὸ περὶ ἑαυτὴν παχύτερον δείκνυσιν :—

Ὥρκισα ὑμᾶς θυγατέρες ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου τί ἀπαγγείλητε αὐτῷ, ὅτι τετρωμένη ἀγάπης εἰμὶ ἐγώ :— ἱ Ἱλημ. ἐφ.

Πρὸς σαφήνειαν τῶν προκειμένων, ἀναγκαῖόν ἐστι παραθέσθαι καὶ ἑτέραν ἔκδοσιν ἔχουσαν οὕτως· ὥρκισα ὑμᾶς θυγατέρες Ἱλημ, κατὰ τῶν ἐλάφων καὶ τῶν δορκάδων τοῦ ἀγροῦ. διδασκόμεθα οὖν διὰ τῶν ὀνομάτων τούτων ἐν τίνι ἐστὶν ἡ τοῦ κόσμου τούτου ἰσχύς τε καὶ δύναμις, ἃ πρὸς βεβαίωσιν τῆς ἀληθείας διὰ ὅρκου παραλαμβάνεται. δύο τοίνυν ἐστὶ τὰ δι' ὧν προσοικειοῦται τὸ θεῖον, τό τε ἀπλανὲς τῆς πίστεως, καὶ ὁ τρόπος τῆς ζωῆς, ὅταν παντὸς καθαρεύῃ τοῦ ἐκ πονηρίας μωμήματος. τούτου διπλῆς ταύτης τῶν ἀγαθῶν ἕξεως, ἡ τῶν δορκάδων τε καὶ ἐλάφων μνήμη διὰ συμβόλων γνωρίζει τὴν δύναμιν, ὧν ἡ μὲν ἀπλανῶς ὁρᾷ, ἡ δὲ βρωτικήν τε καὶ ἀναλωτικὴν τῶν θηρίων δύναμιν ἔχει. τοῦτο τοίνυν πρὸς ἔθος ταῖς νεάνισιν ἡ νύμφη, τὸ εὐσεβῶς δεῖν πρὸς τὸ θεῖον βλέπειν, καὶ τὸ καθαρῶς ἐν ἀπαθείᾳ προσάγειν τὸν βίον, ὧν κατορθουμένων τὸ ἀμετάθετον πρᾶγμα ἐν ἡμῖν βεβαιοῦται, τὸ ναί. οὗτος γάρ ἐστιν ὁ τὴν ἀλήθειαν

πιστούμενος ὅρκος, ὃν πᾶς ὁ ὀμνύων ἐν αὐτῷ ἐπαινεῖται καθά φησιν ὁ προφήτης. εἰ τοίνυν ἐσμὲν καὶ ἡμεῖς τῆς ἄνω Ἱερουσαλὴμ τέκνα, ἀκούσωμεν τῆς διδασκάλου νύμφης πῶς ἔστιν ἰδεῖν τὸν ποθούμενον, τοῦτο φησίν. ἐὰν ὅρκιον ἐὰν τοῦτο ποιήσωμεν τὸ ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τῶν ἀφανιστικῶν τῆς κακίας ἐλάφων, ἔστι διὰ τούτων ἰδεῖν τὸν καθαρὸν νυμφίον τὸν τῆς ἀγάπης τοξότην, καὶ εἰπεῖν πρὸς αὐτὸν τὴν ἑκάστου ψυχήν, ὅτι τετρωμένη ἀγάπης ἐγώ :–

Φίλωνος :–

Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ. παῤῥησιάζεται ἡ ἁγία ἐκκλησία ἐν τοῖς ἰδίοις τέκνοις τοῖς μάρτυσι διὰ τῶν ἔργων, καὶ φησὶ τοῖς ἀποστόλοις καὶ τοῖς προφήταις, ἀπαγγείλατε ὅτι τετρωμένη ἀγάπης εἰμί :–

ρ´ Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξί. τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὥρκισας ἡμᾶς. ἀδελφιδός μου πυρρὸς καὶ λευκός :–

Ὁρκισθεῖσαι αἱ θυγατέρες τῆς Ἱερουσαλὴμ λέγουσιν, εἰπὲ ἡμῖν τὰ σημεῖα τοῦ ἀδελφιδοῦ σου, ἵνα ἐπιγνώσωμεν αὐτόν. δίδαξον ἡμᾶς διὰ ποίων εὐεικάζεται γνωρισμάτων ὁ μὴ ὁρώμενος. καὶ γὰρ ἐν ταῖς φυλακαῖς, οὐκ ἐπορεύσατο κατ᾽ ἐκείνας. τὸ δὲ τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἵνα εἴπῃ ὅτι ὁ νυμφίος ὁ ποιῶν ἐν σαρκὶ ἀπὸ τῆς γενεαλογίας τοῦ ἀδελφιδοῦ σου λαοῦ τοῦ Ἰσραήλ. ἀδελφιδός μου πυρρὸς καὶ λευκός. λαμπρός. λευκὸς διὰ τὸ ἀναμάρτητον.

πυρρὸς διὰ τὸ αἷμα ἢ τὸ πνεῦμα· λευκὸς, φῶς γὰρ ἀληθινὸν τυγχάνει· πυρρὸς, διὰ τὴν σάρκα· ἣν γὰρ αὐτὴν ἀγχιστεία κέχρωσται πυρρότητι :—

Ἐκλελοχισμένος ἀπὸ μυριάδων :— ρα

Τῶν ἀθλοῦ γεγόνασιν οἱ ἄνθρωποι. ἐπειδὴ ταύτην προσάγουσιν τῇ πρὸς τὸ τέλειον ἀναδραμούσῃ ψυχῇ τὴν αἴσθησιν αἱ παρθένοι ψυχαί· τὸ γνωρισθῆναι αὐταῖς τὸν ποθούμενον, διὰ τῶν ἐπὶ σέρα φανερωθέντων ἡμῖν ὑπογράφει ταῖς παρθένοις τὰ τοῦ ζητουμένου γνωρίσματα. καὶ πᾶσαν τὴν ἐκκλησίαν ἓν σῶμα ποιήσασα τοῦ νυμφίου, ἴδιόν τι νόημα δι᾽ ἑκάστου τῶν μελῶν ἐν τῇ ὑπογραφῇ τοῦ κάλλους ἐνδείκνυται, δι᾽ ὧν ἐν τῶν καταμέρους θεωρουμένων, τὸ τοῦ σώματος κάλλος συμπαρεικάζεται. ἀρχὴν δὲ ποιεῖται τῆς διδασκαλίας τὴν προσεχῆ καὶ οἰκείαν ἡμῖν. ἐν γὰρ τοῦ σώματος τῆς κατηχήσεως ἀρχῇ, ὡς ἂν μή τις σαρκὸς γένεσιν περὶ τὸ μυστήριον τῆς εὐσεβείας παραδεξάμενος, πρὸς τὰ τῆς φύσεως ἔργα καὶ πάθη τῇ διανοίᾳ καταολισθήσειεν. τοῦ τυχεῖν τὸν κοινωνήσαντα ἡμῖν σαρκὸς καὶ αἵματος, λευκὸν μὲν εἶναι καὶ πυρρὸν ὡμολόγησε, διὰ τῆς τῶν δύο χρωμάτων μίξεως τὴν τοῦ σώματος φύσιν αἰνιττομένη, οὐ μὴν ὁμοιότροπον τὴν λοχείαν ἐν τῷ κοινῷ τὸ καθ᾽ γεγενῆσθαι. τὸ γὰρ ἐκλελοχισμένον, τὸ μὴ ἐκ λοχείας αὐτὸν εἶναι σημαίνει διὰ τὴν ἀφθαρσίαν καὶ ἀπάθειαν τοῦ τόκου πρὸς τοὺς λοιποὺς ἰδιότητα :— :—

:— :—

ρβ΄. Κεφαλὴ αὐτοῦ, χρυσίον κεφάζ. βόστρυχοι
αὐτοῦ, ἐλάται μέλανες ὡς κόραξ :—

Φίλωνος :—

Οἱ προσελθόντες ἐκ τῶν πατριαρχῶν ἀπόστολοι, οἱ ἀεὶ ἐλαυνό-
μενοι καὶ μὴ ἐγκαταλιμπανόμενοι. ἢ καὶ οὕτω· κεφαλὴ τοῦ
σώματος τῆς ἐκκλησίας, ἢ πάσης τῆς φύσεως ἡμῶν ἀπαρχή
τις, τὸ καθαρώτατε καὶ πάσης κακίας ἀμιγὲς καὶ ἀπειρόκα-
κον χρυσίον ἐστί. βόστρυχοι δ' οἱ ποτὲ ζοφώδεις καὶ μέλανες
καὶ τοῖς κόραξιν ὁμοιωμένοις κατ' εἶδος. ἐκείνοις δὲ λέγω τοῖς
κόραξιν, οἷς ἔργον ἐστὶ τοὺς ὀφθαλμοὺς ἐκκόπτειν κατὰ
τὸν παροιμιώδη λόγον. οὗτοι ἐλάται, τὰ ὑψηλά τε καὶ οὐρα-
νομήκη δένδρα γενόμενοι, διὰ τὸ ἀναδεδραμηκέναι ἐκ γῆς ἐπὶ
τὸ οὐράνιον ὕψος προσθήκη τοῦ κάλλους γενόμενοι τοῦ νυμ-
φίου, τῆς θείας κεφαλῆς ἑαυτοὺς ἐξαρτήσαντες καὶ τῇ τοῦ
πνεύματος ἀέρι ῥιπιζόμενοι. ἀποστόλους δ' οἶμαι τροπικῶς
τοὺς βοστρύχους ὑπὸ τοῦ λόγου σημαίνεσθαι, οἵτινες ἦσαν
ζοφώδεις πρότερον τοῖς τοῦ βίου ἐπιτηδεύμασιν, ὁ τε-
λώνης, ὁ λῃστής, ὁ διώκτης, καὶ εἴ τις ἄλλος τοιοῦτος, κατὰ
τὸν μέλανα τότε καὶ σαρκοβόρον καὶ ὀφθαλμῶν ἀφανιστι-
κὸν κόρακα, φημὶ δὴ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκό-
τους. κεφαλὴ τοῦ Χριστοῦ ὁ θεός, ἀρχὴ γὰρ αὐτοῦ ὡς αἴτιος φυσι-
κῶς ὁ πατήρ. βόστρυχοι αὐτοῦ οἱ πατριάρχαι, ὡς καθαροὶ
καὶ στερροὶ τῇ πίστει :—

ργ΄. Ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραί, ἐπὶ
πληρώματα ὑδάτων, λελουμέναι ἐν

γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων :

Τοὺς αὖ τε ὀφθαλμοὺς τοῦ σώματος τῆς ἐκκλησίας ὑπὸ τοῦ θεοῦ τεταγμένους, εἰ μέλλει καθαρῶς ἐπισκοπεῖν τε καὶ ἐφορᾶν, πᾶσαν τὴν ἐκ κακίας λύμην ἀποκλύζεσθαι προσήκει τῷ ὕδατι. ἔστι δ' οὐχ ἓν ὕδωρ ἐμπλεκὸν τῶν ὀμμάτων, ἀλλὰ πολλὰ τῶν τοιούτων ὑδάτων εἶναι φησὶ τὰ πληρώματα. ὅσαι γὰρ εἰσὶν αἱ ἀρεταί, τοσαύτας λεκτέας τῶν καθαρσίων ὑδάτων ἐννοητέαι πηγάς, δι' ὧν οἱ ὀφθαλμοὶ γένοιντ' ἂν ἀεὶ ἑαυτῶν καθαρώτεροι. οἷον πηγαὶ τοῦ καθαρσίου ὕδατός εἰσιν, ἡ σωφροσύνη, ἡ ταπεινοφροσύνη, καὶ τὰ τοιαῦτα. ἀλλ' εἰσὶ μὲν ἐπὶ τὰ πληρώματα τῶν ὑδάτων οἱ ὀφθαλμοί, διὰ τῆς ἀκεραιότητός τε καὶ ἀκακίας ταῖς περιστεραῖς ὡμοιωμένοι. λουτρὸν δ' αὐτῶν εἶναι τὸ γάλα φησίν, ὅτι μόνον τῶν ὑγρῶν τοῦτο τοιαύτην ἔχει τὴν ἰδιότητα, τὸ μὴ ἐμφέρεσθαί τινος ἐν αὐτῷ εἴδωλον καὶ ὁμοίωμα, οὗ χάριν τοιοῦτος τῶν τῆς ἐκκλησίας ὀφθαλμῶν ὁ τελειότατος ἔπαινος, τὸ μηδὲν ἀνυπόστατόν τε καὶ πεπλανημένον καὶ μάταιον παρὰ τὴν τῶν ὄντων ἀλήθειαν σκιαγραφοῦν ἐν ἑαυτοῖς δι' ἀπάτης, ἀλλὰ τὸ ὄντως ὂν βλέπειν. τὸ δὲ καθήμεναι ἐπὶ πληρώματα ὑδάτων, τὴν διηνεκῆ προσεδρείαν τῶν θείων μαθημάτων προσοχῆς ὑποφαίνει :

Φίλωνος :

Ἐν κακοπαθείᾳ τρεφόμενοι ὑπὸ θεοῦ, ἢ ἑπτὰ ὀφθαλμοὶ τοῦ ἁγίου πνεύματος δυνάμεις ἐφορῶσαι τὴν ἐκκλησίαν. πληρώ

μετὰ τῶν ἄλλων ἀφίησιν· πλήρωμα νόμου ἡ ἀγάπη: ~

ρδ' Σιαγόνες αὐτοῦ, ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι μυρεψικά: ~

Ἀκολούθως μετὰ τοὺς ὀφθαλμοὺς ἐπαινοῦνται αἱ σιαγόνες, ὧν ἔργον ἐστὶ τὸ λεπτοποιεῖν τὴν τροφήν, δι' ἧς ἡ τοῦ σώματος τῆς ἐκκλησίας ζωτικὴ γίνεται δύναμις, ὡς μηδὲν βαθύτερον καὶ ὕπουλον ἐν τοῖς λεγομένοις ὁρᾶσθαι, ἀλλ' εἶναι πάντα διαυγῆ τε καὶ διηπλωμένα, ὡς καὶ νηπίοις εἶναι κατάλληλα. τοῦτο γὰρ ἡ φιάλη αἰνίττεται. τοιοῦτος ἦν ὁ παῦλος πρὸς τὴν οἰνοχοΐαν τοῦ λόγου φιάλῃ χρώμενος. καὶ τὰ ποικίλα τῶν ἀρωμάτων αὐτῇ, μυρεψοῦν τοῖς ἀκούουσιν. σιαγόνες αὐτοῦ ὡς φιάλαι ἤγουν πρασιαί: ~

ρε' Χείλη αὐτοῦ κρίνα, στάζοντα σμύρναν πλήρη: ~

Ἐπαινεῖται ὁ μετὰ τὰς σιαγόνας τὰ χείλη, δι' ὧν ἀρωματίζων λόγος προέρχεται. διὸ καὶ κατ' αὐτὸν μαρτυρεῖ τῷ λόγῳ. ἐν μὲν ἐστὶν ἡ ἀλήθεια λάμπει καὶ φωτοειδής, ἐν τοῖς λεγομένοις θεωρουμένη. τοιοῦτον γὰρ τὸ κρίνου τὸ εἶδος. ἔτι δὲ τὸ μόνην τὴν νοητήν τε καὶ ἄϋλον ζωὴν ὑπὸ τῆς διδασκαλίας προδείκνυσθαι, ἀπονεκρουμένης τῆς κάτω ζωῆς. ἡ γὰρ ἀπορρέουσα τοῦ στόματος σμύρνα, καὶ πλήρη ποιοῦσα ἑαυτῆς τὴν τοῦ δεχομένου ψυχήν, τῆς τοῦ σώματος νεκρώσεως ἔμφασις γίνεται. ὁ τοίνυν τέλειος καὶ καθαρὸς ὀφθαλμός, ὁ τὴν σιαγόνα φιάλην ποιῶν τὴν τὰ μύρα φύουσαν τε καὶ ἀναπηγάζουσαν, οὗτος αὐτὸς τὰ κρίνα τῶν λόγων διὰ τοῦ στόματος, ἀφ' ὧν γίνεται ἡ τῆς σμύρνης σταγών. στάζοντα σμύρναν πλήρη.

τὰ καθαρὰ λόγια περὶ παλιγγενεσίας λαλοῦντα, πληρη-
σιλεκτικὴν προφητείαν :-

Χεῖρες αὐτοῦ τορευταί, χρυσαῖ πεπληρω- ρε'
μέναι θαρσεῖς :-

Χεῖρες αὐτοῦ οἱ πρακτικοὶ πάντες καὶ πᾶσαν ὑλικὴν προσπάθειαν περιξυσάμενοι τῇ τοῦ λογισμοῦ τέχνῃ. αὗται δὲ αἱ χεῖρες πεπληρωμέναι εἰσὶ λίθων καὶ ἀρωμάτων, καὶ πάντων ὧν φέρει ἡ θαρσεῖς. αὕτη δ' ἀναπλοκάς τινας χώρα ἔοικεν εἶναι, ἑρμηνεύεται δ' κατασκοπὴ χαρᾶς. πεπλήρωνται οὖν οἱ πρακτικοὶ πάντες τῶν ὁρώντων αὐτοὺς ἐπὶ τὸ κατασκοπεῖν τὰ χαρτά :-

Φίλωνος :-

Διατορηθεῖσαι τοῖς ἥλοις. χρυσοῦ δ' ἀνὰ τὸ καθαρὸν τὸ ἀναμάρτητον. πεπληρωμέναι θαρσεῖς πλήρεις ὑακίνθων :-

Κοιλία αὐτοῦ, πυξίον ἐλεφάντινον ἐπὶ ρϛ'
λίθου σαπφείρου. κνῆμαι αὐτοῦ, στῦλοι
μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βά-
σεις χρυσᾶς :-

Ἡ τῶν ἁγίων σωματικὴ μὴ ἔχουσα ποικίλον ἢ ξύλινον δέ. κοιλία τὸ διανοητικὸν τῆς ψυχῆς, ᾧ καὶ ἐναποτίθεται καθαρώτερον καὶ τελείως καὶ στίλβοντα τὰ θεῖα μαθήματα. ὁ τὴν κεφαλίδα τοῦ βιβλίου φαγόμενος τοῦ Ἰεζεκιὴλ εὐθύς, φησὶ γάρ· τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθήσεται. οὐρανοειδὴς δὲ ἡ τοῦ σαπφείρου αὐγή. τὸ οὖν τοιοῦτον ἀντίτυπον σύμβολον γένηται τοῦ τὴν καρδίαν ἠρεμοῦν τὰ ἄνω φρονεῖν τε καὶ βλέ-

πειν. ὅπου τὸν θησαυρὸν ἀποτίθεται, κἀκεῖ τὰς ὄψεις τῇ
ἐλπίδι προσαναπαύειν, ὥστε μὴ κάμνειν ἐν τῇ προσδοκίᾳ
τῶν θείων παραγγελμάτων. κοιλία ἐστὶ τοῦ λόγου ἡ χορηγικὴ
τῶν μυστηρίων, τουτέστιν οἱ κοῖλοι πρὸς ὑποδοχήν. πυξίον
δὲ ἡ πρὸς διατήρησιν ἐπιτήδειοι. κατὰ δὲ τὸ λαμπρὸν καὶ σα-
φές, ἐλεφάντινον εἶναι λέγεται. ἐπιβέβηκε δὲ ἡ τοιαύτη
κοιλία ἐλεφάντινον οὖσα πυξίον, λίθῳ τιμίῳ τῷ σαπφεί-
ρῳ. οὗτος δὲ ὁ λίθος ἐστὶν ὁ Χριστός. ὑπὸ τοιούτων εἰσὶ κοιλία τοῦ λό-
γου, οὗτοι ἀπὸ τοῦ φόβου κυρίου ἐν γαστρὶ λαμβάνουσιν, ὠδί-
νουσι καὶ τίκτουσι πνεῦμα σωτηρίας. διὰ τοῦτο καὶ τὰ ἐγκοίλια
τῆς θυσίας ἐν τῷ λευιτικῷ πλύνεται, ὡς μηδὲν ἔχειν κο-
πρῶδες. τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς, ἐπικείμε-
νοι ἐπὶ τὰς θείας ἐντολάς :-

ρη. Εἶδος αὐτοῦ, ὡς Λίβανος ἐκλεκτὸς, ὡς κέ-
δροι. φάρυγξ αὐτοῦ, γλυκασμοὶ καὶ ὅλος
ἐπιθυμία. οὗτος ἀδελφιδός μου, καὶ οὗτος
πλησίον μου θυγατέρες Ἱερουσαλήμ :-

Ἐπειδὴ κατὰ τὸ αἰσθητὸν περιφανές ἐστι τὸ ὄρος ὁ Λίβανος, παν-
ταχόθεν ταῖς ὑψηλαῖς κέδροις συνηρεφές τε καὶ λάσιον, τού-
του χάριν ἐστὶ παρὰ τοῖς αὐτοῖς προφήταις ἰδεῖν τὸ αὐτὸ ὄ-
νομα, κατὰ τὴν τῶν δηλουμένων διαφορὰν ἐπαινούμενόν τε
καὶ κακιζόμενον. ὅλον οὖν τὸ τοῦ νυμφίου κάλλος ἐκλε-
κτὸν ὀνόμασε Λίβανον, τὴν πρὸς τὸν ἀποβλητὸν Λίβανον δι-
αφορὰν τοῦ ἐκλεκτοῦ διαστέλλουσα. τὸ γὰρ σῶμα αὐτοῦ διὰ τῶν
καθ' ἕκαστον ἐκπληροῦται μελῶν, τὰ πολλὰ μέλη ἐν σῶ-

μαρτύρεται καθά φησιν ὁ ἀπόστολος· φάρυγξ αὐτοῦ γλυκασμοί, καὶ πᾶν τὰ αὐτοῦ ἐπιθυμητά· οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου· ἀδελφιδός, διὰ τὸ ἐξ Ἰούδα· πλησίον, διὰ τὸ καταβεβηκέναι πρὸς ἡμᾶς :-

Αἱ νεάνιδες :-

Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου ἡ καλὴ ἐν ρθ'
γυναιξί· ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου,
καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ :-

-ς

Πυνθάνονται τῆς νύμφης αἱ νεάνιδες, ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἢ ποῦ ἀπέβλεψεν, ἵνα πάντως ὅπου μὲν ἐστὶ μαθοῦσαι προσκυνήσωσιν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· ὅπου δὲ βλέπει διδαχθῶσι, οὕτως ἐνδύσωσιν ἑαυτάς, ὥστε καὶ αὐτὰς ἀποφῆναι τὴν δόξαν αὐτοῦ. ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου, ἀνακεχώρηκε· ζητήσατε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ :-

Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ, ρι'
εἰς φιάλας τοῦ ἀρώματος, ποιμαίνειν ἐν
κήποις καὶ συλλέγειν κρίνα :-

Τὸ κατέβη δηλοῖ ὅτι διὰ τὸν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ καταβάντα, καὶ ἐν τοῖς λῃσταῖς γενόμενον, διὰ τοῦτο καὶ αὐτὸς τὴν κάθοδον τοῦ ἐμπεσόντος τοῖς πολεμίοις συγκαταβῇ. κατέβη οὖν ἐκ τῆς ἀφράστου μεγαλειότητος ἐν σαρκὶ φανερωθεὶς ὁ θεὸς λόγος, τὸ πάλιν ποιῆσαι κῆπον τὴν ἔρημον, τῇ τῶν ἀρετῶν φυτείᾳ καλλωπιζόμενον· διὰ γὰρ τοῦ κυ-

τὸν κῆπον αἰνίττεται· τοῦτο δὲ μανθάνομεν, ὅτι ἀναφύεται
τὸ αὐτοῦ γεώργιον ὁ ἀληθινὸς γεωργὸς τοὺς ἄνθους ἡμῶν.
αἱ δὲ τῶν ἀρωμάτων φιάλαι ἐνταῦθα, τόπος εἶναι τῶν θυμιαμάτων
καὶ ἐνδιαίτημα παρὰ τοῦ λόγου μηνύονται. τοῦτο δὲ μανθάνο
λων ἡμῶν ὅτι ἐν ἐρήμῳ τῶν ἀρετῶν ψυχῇ ὁ νυμφίος αὐλί-
ζεται. καὶ εἴ τις κατὰ τὸν προαποδοθέντα λόγον φιάλη ἀ-
ρωμάτων γένοιτο φύουσα μυρεψικά, ὁ τοιοῦτος κρατὴρ τῆς
σοφίας γενόμενος δέχεται ἐν ἑαυτῷ τὸν θεῖον καὶ ἄκρα-
τον οἶνον, δι' οὗ γίνεται τῷ δεξαμένῳ εὐφροσύνη. ὁ δὲ ἐφεξῆς
λόγος διδάσκει ἡμᾶς ποίαις νομαῖς τὰ ποίμνια τὸ κα-
λὸν ποιμένος ποιμαίνεται. οὐ γὰρ εἰς ἐρήμους τόπους τινὰς
καὶ ἀκανθοφόρους ἐλαύνει τὰ πρόβατα, ὥστε τὴν χορτώ-
δη δρέψασθαι πόαν, ἀλλὰ τροφὴ πρόκειται αὐτοῖς τὰ ἐκ
τῶν κήπων ἀρώματά τε καὶ κρίνα. τὰ δὲ ἔστιν ὅσα σε-
μνά, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ἅπερ φησὶ πρὸς τοῦ
ποιμένος ἐπὶ διατροφὴν τῶν προβάτων συλλέγεσθαι.
κατέβη εἰς κῆπον αὐτοῦ. πρὸς τὰς ἐν ᾅδου τῶν ἁγίων
ψυχάς. ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν κρίνα: –

Φίλωνος: –

Μετὰ γὰρ τὴν ἀνάστασιν τὰς κατὰ τὸν τόπον ἐκκλησίας ἐποί-
μανε. συλλέγειν δὲ κρίνα, τὰ λόγια τῶν προφητῶν, ἢ τοὺς
καθαροὺς ἄνδρας: –

Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός
ρια. μου ἐμοί, ὁ ποιμαίνων ἐν τοῖς κρίνοις: –

Ταύτας ἂν εἰκότως μιμεῖται τὰς φωνὰς ὁ Παῦλος λέγων,

ὁ τε τῷ θεῷ ζῶν νεκρὸς τῷ κόσμῳ γενόμενος· καὶ ὁ τε ζῶν ἐν αὐ-
τῷ ὅλος· οὐδὲ γὰρ κοινωνεῖ ἀσέμνῳ ψυχῇ ὁ νυμφίος, μό-
νῃ δὲ τῇ αὐτῷ ἀνακειμένῃ :-

Φίλωνος :-

Ἐγὼ τὰ ἔργα, αὐτὸς τὸν μισθόν· ποιμαίνων ἐν τοῖς κρίνοις,
ἐν τῇ καθαρότητι τῶν γραφῶν :-

Καλὴ εἶ ἡ πλησίον μου, ὡς εὐδοκία· ριϛ'
ὡραία ὡς Ἱερουσαλήμ· θάμβος
ὡς τεταγμέναι :-

Εἰ ὁ ἐν ὑψίστοις θεὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, ὑπὲρ τῆς εὐδο-
κίας ἐν ἀνθρώποις αἵματι καὶ σαρκὶ κατακιρνᾶται, ἵνα γένηται
ἐπὶ γῆς εἰρήνη· δηλονότι ὁ πρὸς ταύτην τὴν εὐδοκίαν τὸ ἐξ
αὐτῆς ὁμοιωσάμενος κάλλος, τὸ γὰρ μιμεῖται τοῖς κατορ-
θώμασιν, ἐκεῖνο γινομένη τοῖς ἄλλοις ὅπερ ὅλῃ τῇ φύσει
τῶν ἀνθρώπων ἐγένετο· τὸ δ' αὐτὸ μέγεθος καὶ ἡ τελειότης ὁμοιό-
τητος ἐνδείκνυται, τὴν πόλιν τοῦ μεγάλου βασιλέως εἶναι
μανθάνομεν· ἡ γὰρ χωρήσασα ἐν ἑαυτῇ τὸν ἀχώρητον, ὥστε
ἐνοικεῖν αὐτῇ καὶ ἐμπεριπατεῖν τὸν θεόν, τῇ ὡραιότητι τοῦ
ἐν αὐτῇ κατοικοῦντος καλλωπίζεται, Ἱερουσαλὴμ ἐπου-
ράνιος γίνεται, τὸ ἐκείνης κάλλος ἐφ' ἑαυτῆς δεξαμένη.
ἐπειδὴ δὲ καὶ ἡ τάξις τῶν νοητῶν καὶ ὑπερκοσμίων δυνά-
μεων ἀσύγχυτος εἰς τὸ διηνεκὲς μένει, μηδεμιᾶς κακί-
ας ἀνατρεπούσης τὴν εὐταξίαν, διὰ τοῦτο καὶ ἡ πρὸς μίμησιν
ἐκείνων ψυχὴ πάντα κατὰ τάξιν καὶ εὐσχημόνως ποιοῦ-
σα, τοῦτον ἐφ' ἑαυτὸν κινεῖ τὸ θαῦμα :-

Φίλωνος:

Ὡραία ὡς εἶπε, διὰ τὴν εὐπείθειαν τῆς ὑπακοῆς, διὰ δὲ τὸ κα-
θαρὸν τῆς σαρκός:

ρις' Ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον
μου, ὅτι ἀνεπτέρωσάν με:

Ὡς ἐλθούσης αὐτῆς ἐπὶ τὸ ἄκρον τῆς τελειώσεως λέγει, ἤδη σοι ζωή ἐστι πεποιηκότι καὶ ἀνεπτερωθὴν ζωοειδοῦς τοῦ ἐνοικοῦντος, τὸ μὴ παραιτῶ τῆς οἰκονομίας ζητεῖ· ἀπόστρεψον ὀφθαλμούς σου ἀπεναντίον μου:

Φίλωνος:

Οἱ ὀφθαλμοί σου τὰς ἐμὰς ὁδοὺς ἐπτέρωσαν· τοῦτο γὰρ ἐφλεξέ με εἰς πόθον σου. θάμβος ὡς τεταγμέναι. θάμβος. θαμβοῦνται γὰρ αἱ ἀντικείμεναι δυνάμεις, ὡς τάγμασι παρατάττεσθαι τὸ ἐπίφοβον αὐτῆς. τεταγμέναι ὡς ἄγγελοι καὶ δυνάμεις, παρ' αἷς οὐδὲν ἄτακτον:

ριζ' Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ
ἀνεφάνησαν ἀπὸ τοῦ λουτροῦ, αἳ πᾶσαι
διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν
ἐν αὐταῖς:

Παντὸς τοῦ σώματος αἰσθητικῇ δυνάμει διοικουμένου, μόνας ὁρῶμεν τὰς τρίχας, μέρος μὲν οὔσας τοῦ σώματος, ἀμοιρούσας δὲ αἰσθήσεως. ἐπειδὴ δὲ κατὰ τὴν τοῦ Παύλου φωνὴν δόξα τῆς γυναικός ἐστιν ἡ κόμη διὰ τῶν πλοκάμων τὴν κεφαλὴν ὡραΐζουσα, τοῦτο διὰ τοῦ ἐπαίνου τῶν τῆς νύμφης τριχῶν διδασκόμεθα, ὅτι λέγει τοὺς περὶ τὴν κεφα

λὴν τῆς νύμφης θεωρουμένους δι᾽ ὧν ἡ ἐκκλησία δοξάζεται, κρείττους τῶν αἰσθήσεων εἶναι, κρύπτοντας διὰ τῆς σοφίας τὴν αἴσθησιν, οἷς οὐχ ὁράσεις τοῦ καλοῦ κεκριμένη, οὐ τῇ γεύσει τῶν ἀγαθῶν δοκιμάζεται, οὐκ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων, ἀλλὰ πάσης νεκρωθείσης τῆς αἰσθήσεως, διὰ μόνης τῆς ψυχῆς τῶν κατ᾽ ἐπίνοιαν φαινομένων ἀγαθῶν ἐφάπτονται καὶ ὑπορέγονται. ταῦτα δὲ καὶ πρώην ἑρμηνευθέντα, τὸ καθ᾽ ἑαυτὰ αὖθις λεπτολογεῖν περίεργον:—

Φίλωνος:—

Τρίχωμά σου ὡς ἀγέλαι. τὸ πλῆθος τοῦ προτέρου λαοῦ νεκροῦ ὄντος, ὡς ἀγέλαι τῶν κεκαρμένων ἤτοι προβάτων, αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ, τῶν ἀποδυσαμένων τὸν παλαιὸν ἄνθρωπον, αἳ πᾶσαι διδυμεύουσαι πίστει καὶ πράξει:—

Ὡς σπαρτίον τὸ κόκκινον χείλη σου, καὶ ἡ λα- ριέ.
λιά σου ὡραία. ὡς λέπυρον τῆς ῥόας μῆ-
λόν σου, ἐκτὸς τῆς σιωπήσεώς σου:—

Τὸ ἐπὶ τοῖς χείλεσι σπαρτίον τεθειμένον, τὴν μεμετρημένην πρὸς τὸν λογισμοῦ διακονίαν παραδηλοῖ τῷ αἰνίγματι, ὥσπερ ὁ προφήτης φυλακήν τε καὶ θύραν περιοχῆς καλῶν ὀνόμασε. μετρητοῦ δ᾽ ὄνομα τὸ σπαρτίον εἶναι καὶ παρὰ τοῦ προφήτου Ζαχαρίου μεμαθήκαμεν, ὅτε σπαρτίον γεωμετρικὸν εἶχεν ἐν χερσὶν ὁ ἐν αὐτῷ λαλῶν ἄγγελος. ὅτι δὲ μάλιστα τυγχάνει τοῦ μετρητοῦ ὁ λόγος, ὅταν περικεχρωσμένος τυγχάνῃ τῷ ἐρυθήματι, ὥσπερ τοῦ αἵματος τοῦ λυτρωσαμένου ἡμᾶς αἵ-

νίζεσθαι γίνεται. ἐὰν οὖν τις κατὰ τὸν παῦλον ἔχει λαλοῦντα ἐν ἑαυτῷ τὸν χριστὸν τὸν τῷ ἰδίῳ αἵματι ἡμᾶς λυτρωσάμενον, οὗτος ἔχει τὸ τετμημένον κόκκινον σχοινίον ἐπὶ τοῦ στόματος, τῇ βαφῇ τῇ αἱματώδει καλλωπιζόμενον. ὡς σπαρτίον κόκκινον χείλη σου. τῇ μεταλήψει τοῦ ποτηρίου. καὶ ἡ λαλιά σου ὡραία. ἡ ἐξομολόγησις. ἐκτὸς τῆς σιωπήσεώς σου. ἤτοι κατὰ σοῦ προσφερομένη, οὔτε ἄωρος, οὔτε ἔξωρος:

ρις Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου τελεία μου. μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν. βασίλισσαι καὶ παλλακαὶ αἰνέσουσιν αὐτήν:

Τοῦτο διὰ τῶν προκειμένων ἐκ τῶν φιλοσοφεῖν τὸν λόγον ὑπονοοῦμεν τὴν διαφορὰν τῶν ψυχῶν, αἱ πρὸς τὸν νυμφίον ὁρῶσι. τὰς μὲν γὰρ ὀνομάζει νεάνιδας, ἣν τοῦ ἀριθμοῦ φύσιν διὰ τὸ πλῆθος νικώσας. ἄλλας δὲ παλλακίδας, καὶ ἄλλας βασιλίσσας εἶναί φησι:

Φίλωνος:

Ὀκτὼ δεκάσι τὸν ἀριθμὸν εἶναι ἐπιγράψας, τὰς δὲ βασιλίσσας συμπληροῦν λοιπὸν εἰς ἑξήκοντα. ὑπὲρ δὲ πάσας τὴν ἐν τῇ μονάδι θεωρουμένην τελείαν περιστεράν, ἣν καὶ μόνην τῇ μητρὶ καὶ ἐκλεκτὴν εἶναι τῇ τεκούσῃ αὐτὴν ἀποφαίνεται. ταῦτα οὖν διὰ τῶν θείων λογίων τούτων νοεῖν ἐδιδασκόμεθα, ὅτι οἱ μὲν ἄρτι καθαιρόμενοί τινος τῶν

ἐν βάθει κειμένης ἀπάτης ἐξωλκόμενοι, ἀρτιγενεῖς τινες ὄντες καὶ οὔπω διηρθρωμένον ἐν ἑαυτοῖς τὸν λόγον χωρήσαντες, τῇ ἀλογωτέρᾳ πως συγκαταθέσει τῆς πίστεως ἐν ἀπείρῳ θεωροῦνται πλήθει· αὗται οὖν εἰσιν αἱ ὀνομασθεῖσαι νεάνιδες διὰ τὸ ἔτι νέαν ἄγειν τὴν πνευματικὴν ἡλικίαν, τῷ μηδέπω φθάσαι εἰς ἄνδρα τέλειον, εἰς μέτρον γαμικῆς ἡλικίας, ὥστε τῷ θείῳ φόβῳ τὸ ἐκ τοῦ δύνασθαι κυοφορῆσαι, καὶ πνεύματος σωτηρίας παιδοποιήσασθαι. ὅσαι δὲ διὰ τῆς καθηκούσης ἐπιμελείας αὔξην θεῖσαι τῇ διανοίᾳ καὶ καταλελοιπυῖαι ἤδη τὴν νηπιότητα, διπλῆν ὑπὸ τοῦ λόγου τὴν διαφορὰν διδασκόμεθα. αἱ μὲν οὖν διὰ τῆς τελειοτέρας διαθέσεως πόθῳ τῆς ἀφθαρσίας ἀνακραθεῖσαι τῷ τοῦ θεοῦ καθαρότητι, βασίλισσαι διὰ τὴν κοινωνίαν τῆς καθαρότητος καὶ ὀνομάζονται. τὰς δὲ διὰ τῆς ἀπειλῆς δουλικῷ φόβῳ τὴν ἀρετὴν ἐκπονούσας, παλλακίδας ὀνομάζει ὁ λόγος. ταύτην δέ μοι δοκεῖ τὴν διαστολὴν τῶν δύο ταγμάτων ἡ κατὰ τοὺς ἀριθμοὺς διαφορὰ παραδηλοῦν δι' αἰνίγματος, πῶς τοῦτό φησιν. ἕξ εἰσιν ἐντολαὶ δι' ὧν ἡ βασιλεία τοῖς δεξιοῖς ἑτοιμάζεται· λογιζόμεθα τούτων ἑκάστην τὸ δεκαπλοῦν εἶναι τάλαντον, ὃ προσήκει παρὰ τοῦ ἀγαθοῦ δεσπότου οἰκέτου δεκαπλασιασθῆναι διὰ τῆς ἐργασίας. εἰ τοίνυν διὰ τῶν ἓξ τούτων ἐντολῶν ἡ τῆς βασιλείας γίνεται κοινωνία τῇ ψυχῇ, τὸ δὲ τέλειον τῆς ἐργασίας ἐφ' ἑκάστης ἐστὶ τὸ δεκαπλασιάσαι τὴν ἐντολήν, εὑρίσκομεν ἐκ τοῦ ἀκολούθου τὴν μίαν βασίλισσαν εἰς ἑξήκοντα πληθυνομένην. ἀκολούθως καὶ διὰ τῶν ὀγδοήκοντα τὸ τῆς ὀγδοάδος μυστήριον

τὴν ἐξακολουθοῦσαν, ὅ ἐστιν ὁ μέλλων αἰών, πρὸς ὃν βλέποντες
οἱ τῷ λόγῳ παιδαγωγούμενοι, τῆς τῶν κακῶν κοινωνίας ἀπέρ-
χονται. οἱ οὖν τὴν μνᾶν ἢ τὸ τάλαντον κατὰ τὸ ἐν εὐαγγελίοις δε-
καπλασιάσαντες διὰ τῆς ἐργασίας τὸ χρῆμα τοῦ φόβου
πρὸς τὸν ἀειθαλῆ τῶν οἰκονομοῦντα, καὶ οὕτω τῇ δευτερευούσῃ
μετὰ τὴν βασιλίδα ψυχὴν φόβῳ καὶ ἀγάπῃ τὸ καλὸν κα-
τεργάζεται. πλὴν εἰς ἔξω βάλλει τελείως κατὰ τὸ γεγραμμέ-
νον ἡ ἀγάπη τὸν φόβον, καὶ μεταποιηθεὶς ὁ φόβος ἀγάπη-
γίνεται, ὅτε οὐ σκοπεῖται μόνας τὸ σῳζόμενον. ἐν τῇ πρὸς τὸν
μόνον ἀγαθὸν συμφυΐᾳ πάντων ἀλλήλοις ἑνωθέντων,
διὰ τῆς κατὰ τὴν περισσὴν τελειότητος. καὶ ἓν σῶμα καὶ ἓν πνεῦμα
γενόμενοι ἁπάντων, διὰ τῆς μιᾶς ἐλπίδος εἰς ἣν ἐκλήθητε.
ὁ τοίνυν ἐκ τοῦ νηπίου εἰς ἄνδρα τέλειον ἀναδραμὼν διὰ
τῆς αὐξήσεως, καὶ φθάσας εἰς τὸ μέτρον τῆς νοητῆς ἡλικίας,
ἐκ δὲ τῆς δούλης τε καὶ παλλακίδος τὴν τῆς βασιλείας ἀξίαν
μεταλαβών, δεκτικὸς τῆς τοῦ πνεύματος δόξης γενόμενος δι'
ἀπαθείας καὶ καθαρότητος, οὗτός ἐστιν ἡ τελεία περιστε-
ρά. ἐπεὶ οὖν καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι,
περιστερὰ πάντως καὶ ἡ τοῦ τέκνου μήτηρ ἐστὶν ἡ ἐπὶ τὸν Ἰορ-
δάνην ἐξ οὐρανοῦ καταπτᾶσα, καθάπερ Ἰωάννης μαρτυρεῖ.
ταύτην μακαρίζουσιν αἱ νεάνιδες. ταύτην αἰνοῦσι παλλα-
καὶ βασίλισσαι. κοινῶς γὰρ ἐκ παντὸς πράγματος πρόκειται
πάσης τῆς ψυχῆς ὁ δρόμος πρὸς τὴν τοιαύτην μακαριό-
τητα, καὶ φύσις ἐστὶ πᾶσι πρὸς τὸ μακάριόν τε καὶ αἰνούμενον
τῆς ἐπιθυμίας ἐντείνεσθαι. ὥστε εἰ μακαρίζουσι τὴν πε-

εἰσέτι αἱ θυγατέρες, αἳ νοοῦσι τε παλλακαὶ καὶ βασιλίδες, ἐπιθυμοῦσι πάντως γενέσθαι τέλειαι καὶ αὗται, ἕως ἂν πάντων γενομένων τῶν πρὸς τὸ αὐτὸ τῆς ἐπιθυμίας βλεπόντων σκοπόν, καὶ μηδεμιᾶς ἐν μηδενὶ κακίας ὑπολειφθείσης, γένηται ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν. ἑξήκοντα εἰσὶ βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί. αἱ ἐκ τῶν δώδεκα φυλῶν καθαρεύουσαι ταῖς πέντε αἰσθήσεσι ψυχαί, ὡς καὶ ἀνωτέρω, ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς. μία ἐστὶν ἡ ἄκακος ἐκκλησία Χριστοῦ. μία ἐστὶ τῇ μητρὶ αὐτῆς, τῇ ἄνω Ἱερουσαλήμ. ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν, ἐν ᾧ ἀναγεννᾶσθαι αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτήν. πολλοὶ γάρ φησι προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ ἴδετε καὶ οὐκ εἶδον:

Ἕως ὧδε τὰ τοῦ μακαρίου Γρηγορίου τοῦ Νυσσαέως. τὰ δ᾽ ἕως τέλους, Φίλωνος:

Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος.
καλὴ ὡς σελήνη. ἐκλεκτὴ ὡς ὁ ἥλιος. ριζ΄
θάμβος ὡς τεταγμέναι:

Ἡ προκύπτουσα ἐκ σκότους ψυχή, πρῶτον ὄρθρῳ εἰκάζεται, εἶτα σελήνῃ, καὶ τέλος τῷ ἡλίῳ τῆς δικαιοσύνης, ὡς θαυμαστὴν εἶναι κατὰ τὰς τεταγμένας δυνάμεις. τίς αὕτη ἐκκύπτουσα ἀπὸ σκότους εἰς φῶς; θάμβος ὡς τεταγμέναι, διὰ τὴν τῆς πίστεως λαμπρότητα:

Εἰς κῆπον καρύας κατέβην: ριη΄

Εἰς τὴν σωματώτην ἔνθα ἡ ῥάβδος Ἀαρὼν ἡ καρυΐνη:

Ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάρρου: ριθ΄

Ἐν τῷ καιρῷ τοῦ πάθους. ἐκ χειμάρρου γὰρ ἐν ὁδῷ πίεται ὕδωρ:

ρκ. Τῆς ὀπώρας τῆς φάραγγος, ἰδεῖν εἰ
ἤνθησεν ἡ ἄμπελος :-

Ἀπέστειλε γὰρ τὸν υἱὸν ὁ δεσπότης τοῦ ἀμπελῶνος :-

ρκα. Ἤνθησαν αἱ ῥόαι :-

Αἱ ἐκκλησίαι διὰ τὸ ἐρυθρὸν πυκνόν τε καὶ ἐναρμόνιον :-

ρκβ. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί :-

Τὰς διδασκαλίας, τελειουμένας ἔργῳ καὶ λόγῳ παιδεύουσι :-

ρκγ. Οὐκ ἔγνω ἡ ψυχή μου, ἔθετό με ἅρματα
Ἀμιναδάβ :-

Ἐν ἀγνοίᾳ φησὶν οὕτως πέπτωκεν ἡ εὐδοκία τοῦ πατρός, ἅρμα
ἑαυτῷ με ἔθετο, τουτέστιν ὑποδεχομένην τὸν Ἀμιναδάβ
γὰρ πατρὸς εὐδοκίᾳ :-

ρκδ. Ἐπίστρεφε ἐπίστρεφε ἡ Σουλαμῖτις :-

Ἐπεὶ γραφὴ ἡ Σουλαμῖτις ἔχει, ὅ ἐστιν ἡ μαρτυροῦσα εἰς ὕ-
δωρ, δῆλον ὅτι τὸ τοῦ βαπτίσματος. ἐπίστρεφε γὰρ ἐπίστρε-
φε, ὁμολογία καὶ πρᾶξις :-

ρκε. Ἐπίστρεφε ἐπίστρεφε καὶ ὀψόμεθα ἐν σοί.
τί ὄψεσθε ἐν τῇ Σουλαμίτιδι :-

Χριστὸν τὸν λόγον τὸν ἐνοικοῦντα ἐν αὐτῇ. τὸ ὅραμα στησόμεθα ἐν
εἰρηνευούσῃ :-

ρκϛ. Ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν :-

Ἀνιοῦσα γὰρ ἀπὸ τοῦ λουτροῦ ὡς ἀγγελικὰ τάγματα, τὴν
ἐσκυλευμένην ἐν ταῖς τρώσεσι τῶν παρεμβολῶν :-

ρκζ. Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασι
θύγατερ Ναδάβ. Ἄρχοντος, ἡγεμόνος, τὰς πορ

πας τῆς νύμφης ἀποδέχεται ὁ λόγος· διαβήματα γὰρ αἱ προ-
κοπαί. πότε καὶ τὰ διαβήματα ἀποκαλυφθήσεται· ἐν
ὑποδήμασι δέ, αὐτὸ τοῦτο τοῖς εὐαγγελικοῖς θεσπίσμασιν.
ὑποδησάμενοι γὰρ τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγε-
λίου τῆς εἰρήνης :—

Ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργῳ ρκη.
χειρῶν τεχνίτου :—

Τὸ τεταγμένον καὶ ἡρμοσμένον καὶ ἀσφαλὲς τῆς παρθενίας,
ἐν ᾗ ὁ τεχνίτης εἰργάσατο ναὸν ἑαυτῷ. τοὺς μηροὺς ἐπὶ γε-
νέσεως τεταγμένους εἰσοίσομεν, διὸ ὁ Ἀβραὰμ τῷ οἰ-
κέτῃ τὸν γάμον ἐμπραγματευόμενος λέγει, θὲς τὴν χεῖρά σου ὑπὸ
τὸν μηρόν μου, καὶ ἐξορκιῶ σε κυρίῳ τῷ θεῷ, τὸν ἐξ αὐτοῦ δη-
λονότι σαρκοῦσθαι μέλλοντα. ἐν τούτῳ τοίνυν ἵνα δηλωθῇ
τῆς νύμφης τὸ ἔνρυθμον, διὰ τῶν πεπραγμένων ἐν τῷ
τῆς γενέσεως χωρίῳ εἴρηται τό, ῥυθμοὶ μηρῶν σου ὅμοι-
οι περιτραχηλίοις κατεσκευασμένοις. τέχνη γάρ ἐστιν ἡ ἀρετή :—

Ὀμφαλός σου κρατὴρ τορευτός, μὴ ὑστερού- ρκθ.
μενος κρᾶμα :—

Τὸ ἱερατεῖον, ἐν ᾧ οἱ ἀπεχόμενοι πάσης κηλῖδος ἱερεῖς.
ἐπὶ τούτου τὸν κρατῆρα ἡ σοφία συγκαλεῖ λέγουσα, δεῦτε
πίετε οἶνον, καὶ δηλοῖ τὸ πνευματικὸν πόμα. διὰ τοῦτο προσέ-
θηκε καὶ θημωνίαν σίτου, ἵνα τὴν πνευματικὴν τροφὴν σημάνῃ :—

Κοιλία σου θημωνία σίτου, πεφραγμένη ρλ.
ἐν κρίνοις. δύο μαστοί σου, ὡς δύο μαστοὶ
δίδυμοι δορκάδος :— Ἡ συναγωγὴ τοῦ πλη-

θους εἰς ἓν τῇ ὁμονοίᾳ συνηγμένον, πεφραγμένην ἐν ἐκεί-
νοις τοῖς εὐώδεσι τῶν θυλάκοις· δύο μαστοί σου ὡς δύο νε-
βροί· υἱὸς καὶ πνεῦμα ἅγιον, αἱ δύο διαθῆκαι :—

ρλδ. Τράχηλός σου, ὡς πύργος ἐλεφάντινος
εὐπρεπής :—

Οἱ τὴν κεφαλὴν τῆς ἐκκλησίας, τουτέστι τὸ σῶμα καὶ αἷμα βα-
στάζοντες διάκονοι, ἔχοντες τὸ μυστήριον ἐν καθαρᾷ συνει-
δήσει κατὰ τὸν ἀπόστολον, διὸ ἐλεφάντινος :—

ρλε. Ὀφθαλμοί σου, ὡς λίμναι ἐν Ἑσεβών, ἐν
πύλαις θυγατρὸς πολλῶν :—

Τὸ διανοητικόν σου πεπληθυσμένον λογισμοῖς. Ἑσεβὼν
γὰρ ἑρμηνεύεται λογισμοί· ἐν πύλαις θυγατρὸς πολλῶν.
ἐκ πολλῶν γὰρ ἐθνῶν ἡ ἐκκλησία χυ. τοῦτο τοίνυν φησί· γνώσε-
ως τοῖς ἐν σοὶ διδασκάλοις περίεστιν, ὡς μὴ μόνον τοὺς
περὶ σὲ ἀπολαύειν αὐτῶν τῆς συνέσεως, ἀλλ' ἤδη καὶ εἰς
τοὺς ἔξωθεν καὶ πόρρωθεν διαβαίνειν τὸ ἐξ αὐτῶν ὄφε-
λος. οἷς δὴ καὶ ἀντιληπτικὴ τῶν μαθημάτων δύναμις ὑ-
ψηλὴ καὶ θεία τυγχάνει, ὡς μηδὲ τῶν παρ' ἐχθροῖς παιδευ-
μάτων λανθάνειν αὐτὴν τὰ χρήσιμα :—

ρλϛ. Μυκτήρ σου, ὡς πύργος τοῦ Λιβάνου, σκο-
πεύων δύναμιν Δαμασκοῦ :—

Ὁ καθαρὰν ἔχων τὴν ἀναπνοὴν τῶν θείων λόγων, ὁ δυνάμε-
νος διὰ τῆς αἰσθήσεως ὀπίσω αὐτοῦ εἰς ὀσμὴν μύρου δρα-
μεῖν, μυκτήρ ἐστιν αἰσθανόμενος εὐωδίας πνευματικῆς, σκο-
πεύων ὅτι ἐν τοῖς ἔθνεσι δόγμα ἐστὶ νομιζόμενον ὀπ-

φανές, δαμασκὸς γὰρ ἐπὶ τῶν ἐθνῶν τέτακται· τοῦ δ' ἡλίου
καὶ ἐπιφανοῦς σύμβολον τὸ πρόσωπον· ὁ δὲ λίβανος ἀνα-
φέρεται ἐπὶ τὸ θυσιαστήριον τοῦ θεοῦ, ᾧ καὶ παραβάλλεται
ὁ μυστής :–

Κεφαλή σου ἐπὶ σὲ ὡς κάρμηλος, καὶ πλό- ρλα'
κιον κεφαλῆς σου ὡς πορφύρα, βασιλεὺς δε-
δεμένος ἐν παραδρομαῖς :–

Καὶ ἡ διαπόρθμευσις τῆς κεφαλῆς σου, ὡς πορφύρα βασιλικὴ
περιδεδεμένη εἰλήμασι· πλόκιον κεφαλῆς τὸ πολυάν-
θρωπον τῆς ἐκκλησίας λέγει οἶμαι δῆμον, ὃς πλέκεται τῇ
ἀγάπῃ εἰς κόσμον τῆς νύμφης ὥς φησιν ὁ ἀπόστολος· ὁ δὲ γε-
γωνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστι· τοῦτο δὲ τὸ πλόκιον ὡς πορ-
φύρα θεοειδῶς εἴρηται· καθάπερ ἡ πορφύρα ἐν αἵματι
βάπτεται, οὕτω καὶ τῶν πιστῶν ἡ πληθὺς ἐν τῷ αἵματι τοῦ
χριστοῦ βεβαμμένη, βασιλικὴ γέγονεν αὐτῷ ἐσθής· ἢ οὕτως·
ὁ κόσμος τοῦ πλήθους, ὁ βαφεὶς τῷ αἵματι, ὡς βασιλεὺς
πορφύραν δεδεμένος ἐν πομπαῖς· στεφανωθεὶς γὰρ τῇ κατὰ
τοῦ θανάτου νίκῃ, ἐθριάμβευσεν ἀπεκδυσάμενος τὰς ἀρχάς :–

Τί ὡραιώθης, τί ἡδύνθης, ἀγάπη ἐν ρλβ'
τρυφαῖς σου :–

Ἀγαπᾷς τοὺς κατατρυφῶντάς σου, ἡ γλυκύτης σου με βασιλεύσας θεῷ :–

Ἀνυσίου :–

Τοῦτ' εἰς ἅπασι κοσμουμένη ὡραία τυγχάνεις, τὸ διαφερόν-
τως ποθητὸν ἡ τῶν παρὰ σοὶ τρυφῶν τε καὶ ἀπόλαυσις :–

:– :– :–

ρλϛʹ. Τὸ μέγεθός σου ὡμοιώθη τῷ φοίνικι :—

Διὰ τὸ ὑψηλόν σου τὸ φρόνημα, οὐδὲν τοῖς γηΐνοις ἐνομιλοῦν. δίκαιος ὡς φοῖνιξ ἀνθήσει, διὰ τὸ ἰθὺ τὸ ἄνω φέρον τὸ καθαρὸν τῆς καρδίας, τὸ κεντρῶδες τῆς ἐγκρατείας :—

ρλζʹ. Καὶ οἱ μαστοί σου τοῖς βότρυσιν :—

Τουτέστι τὰ νοήματά σου τροφιμώτατα, ἔτι καὶ πολυμώτατα, οὐδαμῶς ὀμφακίζοντα, τοῖς τῶν φοινίκων βότρυσι πρὸς τὸ εὐῶδες καὶ πεπληθυμένον :—

ρληʹ. Εἶπα ἀναβήσομαι ἐν τῷ φοίνικι, καὶ κρατήσω τῶν ὕψεων αὐτοῦ :—

Ἐὰν γὰρ κρατήσῃ τοὺς δικαίους ὁ κύριος, ἀπλωταμένει τὰ ὕψη αὐτῶν. ὅθεν ὁ νυμφίος λέγει ὡμοιώθης τῷ φοίνικι, ἡ δὲ νύμφη ὡς πρὸς αὐτὸν φοίνικα λέγει, τὸ ὕψος καὶ τὸ μέγεθος τοῦ λόγου κατανοήσασα, ἐλπίσασα ὅτι φθάσει ἐπὶ τὴν ἀκρότητα τῶν θεωρημάτων φησί. τοῦτο δὲ ἐν τῷ τέλει τῶν ᾀσμάτων εἴρηται ὅτι τελεία ἐστὶν ἡ νύμφη, ὅτε αὐτὴ λήψεται καὶ τῶν μαστῶν τοῦ νυμφίου, τουτέστι τῶν πεπυκνωμένων νοημάτων, τῶν διὰ τοῦτο παραβαλλομένων βότρυσιν ἀμπέλου, περὶ ἧς εἶπεν ὁ σωτήρ, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή :—

ρλθʹ. Καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου :—

Περὶ ἧς εἶπεν ὁ σωτήρ. ὡς γὰρ οὗτοι θλιβόμενοι εὔφρονα οἶνον προχέουσι, οὕτως οἱ δίκαιοι ἐν ταῖς θλίψεσιν εὐφραίνουσι τὸν Χριστόν :— :—

:— :—

Καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα, καὶ λάρυγξ σου ὡς οἶνος ἀγαθός: ρμ΄

Ῥὶς αὐτῆς, ὁ ἀπόστολος, ὅστις ὀσμὴ εὐωδίας γέγονε τῷ θεῷ, ὡς μῆλον βρῶσιν παρέχων καὶ πόσιν τῶν μυστηρίων Χριστοῦ:

Πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα, ἱκανούμενος ἐν χείλεσί μου καὶ ὀδοῦσιν. Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἀποστροφὴ αὐτοῦ: ρμα΄

Εὐθεῖον γὰρ δίδοται τὸ πόμα, κατὰ τὸ δοκιμαζέτω ἑαυτὸν ἕκαστος· καὶ τότε ἐκ τοῦ ποτηρίου πινέτω, ἁρμόζων τῷ ἀγαπητῷ μου ὡς μόνον θέλοντα ἁγιάζεσθαι. καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ. ἡ δευτέρα παρουσία αὐτοῦ:

Ἐλθὲ ἀδελφιδέ μου ἐξέλθωμεν εἰς ἀγρόν, αὐλισθῶμεν ἐν κώμαις, ὀρθρίσωμεν εἰς ἀμπελῶνας, ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος, ἤνθησεν ὁ κυπρισμός, ἤνθησαν αἱ ῥοαί: ρμα΄

Ἀξιοῖ ἡ νύμφη πρὸς τὸν νυμφίον, ἵνα ἐξέλθωσιν ἀπὸ τῶν ἐνδοτάτων διατριβῶν ἐπὶ τὰ ὑποδεέστερα. ταῦτα δέ εἰσιν οἱ ἀγροὶ καὶ αἱ κῶμαι, καὶ οἱ εἰρημένοι καρποί. ἐξέλθωμεν εἰς ἀγρόν· εἰς ὅλον τὸν κόσμον· αὐλισθῶμεν ἐν κώμαις· ἐν ταῖς πανταχοῦ ἐκκλησίαις· ὀρθρίσωμεν εἰς ἀμπελῶνας· εἰς τὰς εὐκάρπους ψυχάς· ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος· τὸ κήρυγμα· ἤνθησεν ὁ κυπρισμός· δ' ἤνοιξεν. ἤνθησαν αἱ ῥοαί· οἱ λευκανθέντες τῷ βαπτίσματι:

ρμβ. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί :

ὅτι γὰρ πιστοῖς τὰ βάθη τῶν δύο διαθηκῶν ἀποκαλύπτεται τὴν ἀγάπην μου :

ρμγ. Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν :

Οἱ μανδραγόραι ἀνθρωπομόρφους ἔχοντες ὑπὸ γῆς ἔχουσιν. οἱ νεκρώσαντες οὖν ἑαυτοὺς διὰ χν̄, ἔδωκαν εὐωδίαν ἔργων ἀγαθῶν. ἢ οἱ νεκροὶ τὴν τοῦ χριστοῦ παρουσίαν εἰς τὸν ᾅδην αἰσθόμενοι, τὴν τῆς ἀναστάσεως δέδωκαν ὀσμήν :

ρμδ. Καὶ ἐπὶ θύραις ἡμῶν πάντα ἀκρόδρυα.

νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτήρησά σοι :

Νοεῖ ὅτι τὰ ἤδη καρποφοροῦντα, πρὸς ταῖς θύραις εἶναι λέγει. καὶ ὅτι οἱ μὲν νεωστὶ καρποφορεῖν ἄρχονται, οἱ δὲ ἐκ πολλοῦ, ἤτοι ἵνα σημαίνῃ τοὺς κατὰ τὴν παλαιὰν καὶ τὴν νέαν ἀνθοῦντας. ἐν τοῖς αἰσθητηρίοις ἡμῶν κεῖνται πᾶσαι αἱ ἀρεταὶ καὶ αἱ κακίαι. νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτήρησά σοι :

Ἀθανασίου :

Νέα πρὸς παλαιὰ ζητοῦντα τὰ παλαιὰ προφητευόμενα εἰς τὸ προφανὲς ἐλθεῖν, καὶ τὰ παλαιὰ τοῖς νέοις συναφθῆναι ἐπιποθοῦντα τοῦτο λέγει :

ρμε. Τίς δώσει σε ἀδελφιδέ μου θηλάζοντα μαστοὺς μητρός μου, ὅσα ἔδωκέ μοι ἡ μήτηρ μου :

Εἰ γὰρ τοῖς ἀρχομένοις τοῖς ὑπὸ τοῦ πνς μορφουμένοις ὁ λόγος, θηλάζει τὴν τροφὴν δι' αὐτῶν. μήτηρ ἐστὶ τῆς νύμφης ἡ ἄνω ἱερουσαλήμ, ἧς σύμβολον ἐστὶν ἡ ἐπὶ γῆς ὁμώνυμος πόλις, καὶ

μένη ἐπὶ τῆς ῥεούσης γῆς γάλα καὶ μέλι. τὸ δὲ γάλα ἀπὸ μαστῶν ἔχει τὴν γένεσιν. δηλονότι καὶ ἡ ἄνω Ἱερουσαλὴμ ῥέει γάλα, ἐν ᾧ ζωγραφεῖσθαι βουλομένη ἡ νύμφη τὸν νυμφίον ὡς τὸν θηλάζει. τὸ δὲ γάλα ἐνταῦθα μὴ νομίσῃς ἐπὶ τὸ ἀπαλοτέρας τροφῆς, ἀλλ᾽ ἐπὶ τῆς ἀδόλου καὶ πνευματικῆς. ἀπαξιοῦται δὲ ἡ τροφὴ τῆς νύμφης ζωογονουμένου τοῦ λόγου, ἤγουν εὔχεται τὴν ἐπιδημίαν τοῦ σωτῆρος εἰς τὴν Ἰουδαίαν ἡ ἐκκλησία γενέσθαι, κατὰ πρόνοιαν τοῦ δοῦναι αὐτὸν τοῖς ἀνθρώποις πατρός:

Εὑροῦσά σε ἔξω φιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί με. παραλήψομαί σε εἰσάξω σε εἰς οἶκον μητρός μου, καὶ εἰς τὸ ταμεῖον τῆς συλλαβούσης με: ρμϛ.

Ἵνα εὑροῦσά σε ἐν ἀγρῷ καταφιλήσω σε καὶ μηδεὶς ἐξευτελίζῃ με. παραλήψομαί σε εἰσάξω σε. εἰς τὴν γῆν καὶ τὴν ἐξ αὐτῆς σάρκα. εὑροῦσα γὰρ αὐτὸν [illegible] προσεπλέξατο αὐτῷ. τὸ δὲ καί γε οὐκ ἐξουδενώσουσί με, τὸ πνευματικῆς φιλίας τὸ ἀκατάγνωστον δηλοῖ, ἢ ὅτι οὐκ ἔσομαι ὡς πρώην εὐάλωτος τοῖς ἐχθροῖς. καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με. τὸν ᾅδην ἐν ᾧ ἦσαν ἀποτεθειμέναι τῶν αἰώνων αἱ ψυχαί. ἀπὸ νάματος ῥοῶν μου ἠρτυμένου γλυκασμοῦ:

Ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ, ἀπὸ νάματος ῥοῶν μου: ρμζ.

Τοῦ ποθεινοῦ τοῦ συγκεκραμμένου τῷ πνεύματι, ὃ πίνει διὰ

τῶν πιστευόντων :—

ρμη΄ Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου,
καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με :—

Ὁ μὲν νόμος ὑποστηρίζει τὸ ἡγεμονικόν, τὸ δὲ εὐαγγέλιον τοῦ παντὸς περιληπτικόν. ἡ εὐώνυμος ἡ πρώτη ἐπιδημία, δεξιὰ δὲ ἡ δευτέρα :—

ρμθ΄ Ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλήμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ :—

Ἐνορκίζει τὰς τῶν ἁγίων ψυχὰς προσεύχειν ὑπὲρ ἁμαρτωλῶν, ἕως οὗ παραλάβῃ ἡμᾶς ὁ Χς :—

ρν΄ Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη,
ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς :—

Οἱ ἄγγελοι τοῦτό φασι, θαυμάζοντες τὴν κάθαρσιν αὐτῆς. ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς. στήριγμα ἡμῶν ὁ Χς :—

ρνα΄ Ὑπὸ μῆλον ἐξήγειρά σε :—

Τὸ μῆλον καὶ τροφὴν καὶ πότον ἐργάζεται. φησὶ οὖν, ὅτι ὑπὸ τὴν μυστικὴν τράπεζαν ἐγείρας σε ἐθεράπευσε. τοῦτο τὸ φυτὸν καὶ τῇ θέᾳ καὶ τῇ ὀσμῇ καὶ τῇ βρώσει καλόν ἐστιν. ὁ ἀγαπῶν οὖν τῶν ἀληθινῶν λογικῶν γραφῶν, καλοῦνται μῆλον. πρὸς ταύτην τὴν μηλέαν ὠδίνει ἡ ἄνω Ἱερουσαλὴμ καὶ τίκτει τὰ τέκνα τῆς ἐλευθερίας. διὸ καὶ Ἰωὴλ λέγει. ῥόα καὶ μῆλον καὶ φοῖνιξ, καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ δώσει τῶν

καρπῶν αὐτῶν :—

Ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου, ἐκεῖ ὠδίνη ρνβ.
σέ σε ἡ τεκοῦσά σε :—

Ἡ σὰρξ τοῦ χῡ ἐν ταῖς ὠδῖσι τοῦ σταυροῦ ἐγέννησε τὴν ἐκκλη
σίαν, ὡς ἐξέχεεν ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ :—

Θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν ρνγ.
σου, ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου,
ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη, σκληρὸς
ὡς ᾅδης ζῆλος :—

Προτρέπεται αὐτὴν ὁ νυμφίος πᾶν νόημα καὶ πᾶσαν πρᾶ
ξιν μορφοῦσθαι κατὰ τὸν ἑαυτοῦ χαρακτῆρα, καὶ τὴν αἰτίαν τοῦ δεῖν
ταῦτα ὑποτυπωθῆναι ἐπιφέρει λέγων, ἀγάπην εἶναι τὴν
ὡς θάνατον κραταιὰν ταῦτα ποιοῦσαν. ἡ γὰρ ἀγάπη πάντα
στέργει, πάντα πιστεύει, πάντα ὑπομένει· διὰ τοῦτο ἐστὶ κρα
ταιά. παραβάλλεται δὲ τὸ κραταιὸν αὐτῆς κακίας θανάτῳ,
καθ' ὃν ἀποθνήσκει ἡ ἁμαρτία. ἤτοι ὡς περ ἐκράτησεν ὁ
θάνατος, οὕτω ἐστὶ κραταιὰ ἡ ἀγάπη καὶ ὁ ζῆλος ἰσχυρός, ἵ
να πάντες γένωνται ζηλωταὶ κατὰ θεόν. θές με ὡς σφραγῖδα
ἐπὶ τὴν καρδίαν σου, ἵνα σφραγίσῃ τὰς ἐνθυμήσεις καὶ
τὰς πράξεις ἡμῶν. ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη· ἕως
θανάτου ἀγωνίζεται ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς ἀληθείας. σκλη
ρὸς ὡς ᾅδης ζῆλος· καὶ ἐν τῷ ᾅδῃ γὰρ ὄντα τὸν χν̄, ἐζήλωσαν
οἱ ἰουδαῖοι ὑποφθείραντες τοὺς στρατιώτας :—

Περίπτερα αὐτῆς, περίπτερα πυρός· ἄν ρνδ.
θρακες πυρός, φλόγες αὐτῆς· ὕδωρ πολὺ

οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην, καὶ ποταμοὶ
οὐ συγκλύσουσιν αὐτήν :-

Πυρεῖα τῆς ἐκκλησίας καινὴ καὶ παλαιά, καὶ ὧδε μὲν
πύριναι γλῶσσαι, ἐκεῖ δὲ πυρουμένη βάτος. ὕδωρ πολὺ
οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. ταύτας οὖν τὰς φλόγας
τῆς ἀγάπης ποταμοὶ οὐ συγκλύσουσιν :-

ρνε΄. Ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγά-
πῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν :-

Πάντα πλοῦτον ὑπὲρ τῆς ἀγάπης. εἰς τοὺς νεοφύτους πίστιν μὲν
ἔχοντας, οὐδέπω τὴν γνῶσιν ἔχοντας τῶν διαθηκῶν :-

ρνς΄. Τί ποιήσομεν τῇ ἀδελφῇ ἡμῶν, ἐν ἡμέ-
ρᾳ ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ. εἰ τεῖχός ἐστιν,
οἰκοδομήσωμεν ἐπ᾽ αὐτῆς ἐπάλξεις ἀρ-
γυρᾶς. καὶ εἰ θύρα ἐστίν, διαγράψωμεν
ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην. ἐγὼ τεῖχος, καὶ
μαστοί μου ὡς πύργοι. ἐγὼ ἤμην ἐν ὀφθαλ-
μοῖς αὐτοῦ, ὡς εὑρίσκουσα εἰρήνην. ἀμ-
πελὼν ἐγενήθη τῷ Σαλωμών, ἐν Βε-
ελαμών :-

Οἱ ἅγιοι περὶ τῶν μελλόντων λέγονται τὸ κήρυγμα. ἀποθέ-
μενοι γὰρ ὡς περὶ χριστοῦ τὴν δόξαν αὐτοῦ δι᾽ ἡμᾶς, ἐξουδένω-
σαν οἱ Ἰουδαῖοι. καὶ ὁ ἀπόστολος δ᾽ ἔλεγεν. ὡς περικαθάρ-
ματα ἐγενήθημεν τοῦ κόσμου. εἰ τεῖχός ἐστιν, οἰκοδομήσω-
μεν ἐπ᾽ αὐτῆς ἐπάλξεις ἀργυρᾶς. καὶ εἰ θύρα ἐστί, δια-
γράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην. εἰ μεταστρεπτος

ὡς ἡ ζωὴ αἰώνια, πρὸς δὲ ἐρχόμενοι αὐτὴν ταύτην κεδεῖναι ς.
ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.
εἰρήνην γὰρ φησὶ τὴν ἐμὴν δίδωμι ὑμῖν. ἀμπελὼν ἐγε-
νήθη τῷ Σαλωμὼν ἐν Βεελαμών. ἡ ἐκκλησία ἀμπελὼν τοῦ
χριστοῦ ἐνέχουσα πλήθει :-

Ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν :- ρνζ'

Οἱ τηροῦντες τὸν ἀμπελῶνα αἱ δυνάμεις εἰσίν, ἐν αἷς πα-
ραδέδοται ἡ ψυχή, ὥστε τὸν τιμιώτατον καρπὸν φέρειν.
ἀρθήσεται γὰρ φησὶν ἀφ' ὑμῶν ἡ βασιλεία καὶ δοθήσεται ἔ-
θνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς :-

Ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυ- ρνη'
ρίου. ἀμπελών μου ἐμὸς ἐνώπιόν μου :-

Οἱ χίλιοι μονάδες εἰσὶ συντελεῖς, οἱ δὲ διακόσιοι δυάδες. τὰ
περὶ θεοῦ τίμια δόγματα οἱ χίλιοι εἰσίν, ἀπὸ τοῦ ἀμπελῶ-
νος ἀνακείμενοι τῷ Σαλωμών. τὰ δὲ περὶ τῶν κατὰ τὴν ὕλην
καὶ τὰ αἰσθητὰ τοῖς διακονουμένοις ἐν τῇ ὕλῃ, περὶ ὧν λέ-
λεκται, τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλ-
λὰ διὰ τὸν ὑποτάξαντα· ὡς ματαιότητας λέγεσθαι τὴν ὕλην
καὶ τὰ σωματικά. οἱ δὲ καρποὶ τοῦ ἀμπελῶνος τούτου, ἀφ'
ὧν καὶ οἱ χίλιοι καὶ οἱ διακόσιοι δίδονται, οἱ ψαλμοί εἰσιν
ὑπὲρ τῶν ληνῶν :-

Οἱ χίλιοι τῷ Σαλωμών, καὶ οἱ διακόσιοι τοῖς τη- ρνθ'
ροῦσι τὸν καρπὸν αὐτοῦ. ὁ καθήμενος ἐν κήποις,
ἑταῖροι προσέχοντες τῆς φωνῆς σου ἀκούτισόν με :-

Ἐνταῦθα ἡ ἄνωθεν ἐξήγησις τὸ, οἱ χίλιοι μονάδες εἰσὶ συντε-

νεῖς· ἢ τοῖς τελειοτέροις τῷ ὕψει, ἢ ἡ μεσιτικὴ τοῖς ἀποστόλοις
τοῖς τηρήσασι τὰς δύο ἑκατοντάδας τῶν δύο διαθηκῶν.
ὁ καθήμενος ἐν κήποις, ὁ ἐφορῶν τὰς ἐκκλησίας. ἑταῖ-
ροι προσέχοντες, καὶ ὑποτεταγμένοι λειτουργοὶ τῷ ἀρχι-
ερεῖ δι' ὧν παιδεύεται ἡ ἐκκλησία. τὸ φωνῆς σου ἀκουτί-
σόν με, τὴν φωνήν σου ἀκουστὴν ποίησόν με :—

ρξ. Φεῦγε ἀδελφιδέ μου καὶ ὁμοιώθητι τῇ
δορκάδι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τὰ ὄρη ἀρωμάτων.

Τοῦτο ὡς ἀπὸ τοῦ νυνὶ καὶ τῆς ἁγίας ἐκκλησίας λέλεκται πρὸς
πάντα πιστόν. φεῦγε ἀδελφιδέ μου. ὁ [illegible]
φεύγει τὴν ἁμαρτίαν, ὀξυδρομῶν τε ἀκριβεῖ βλέμματι.
ὄρη τῶν ἀρωμάτων, οἱ ὑψηλοὶ ἐν ἀρετῇ ἄνθρωποι.
ἰωσὴφ ἐν σωφροσύνῃ. δαυῒδ ἐν πραότητι.
μωϋσῆς ἐν ἀνεξικακίᾳ. φεῦγε
οὖν ἐπὶ ταῦτα φησὶ τὰ
ὑψηλὰ τῶν δι-
καίων
μεγέθη :—

Τέλος τοῦ ᾄσματος τῶν
ᾀσμάτων.

BIBLIOTECA UNIVERSITARIA
SALAMANCA

4